10/2

# ΕΠΙΣΤΟΛΙΜΑΙΟΝ ΥΠΟΜΝΗΜΑ

ΤΗΣ ΤΟΥ

# ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΠΡΟΣ ΤΑΣ ΛΟΙΠΑΣ

## ΟΡΘΟΔΟΞΟΥΣ ΑΥΤΟΚΕΦΑΛΟΥΣ ΑΓΙΑΣ ΕΚΚΛΗΣΙΑΣ

ΠΕΡΙ ΤΗΣ

## ΚΑΤΑ ΤΑ ΕΤΗ 1868—1870

ΠΟΡΕΙΑΣ ΤΟΥ ΚΑΤΑ ΒΟΥΛΓΑΡΟΥΣ

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΖΗΤΗΜΑΤΟΣ.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,
ΤΥΠΟΙΣ ΑΝΤΩΝΙΟΥ ΚΟΡΟΜΗΛΑ
(Ὁδὸς Πεμπτοπαζάρου, ἀριθ. 3).

1870.

389

Α. 138.

# ΕΠΙΣΤΟΛΙΜΑΙΟΝ ΥΠΟΜΝΗΜΑ

ΤΗΣ ΤΟΥ

# ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΠΡΟΣ ΤΑΣ ΛΟΙΠΑΣ

## ΟΡΘΟΔΟΞΟΥΣ ΑΥΤΟΚΕΦΑΛΟΥΣ ΑΓΙΑΣ ΕΚΚΛΗΣΙΑΣ

ΠΕΡΙ ΤΗΣ

## ΚΑΤΑ ΤΑ ΕΤΗ 1868—1870

ΠΟΡΕΙΑΣ ΤΟΥ ΚΑΤΑ ΒΟΥΛΓΑΡΟΥΣ

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΖΗΤΗΜΑΤΟΣ.

ΒΙΒΛΙΟΘΗΚΗ Σ. ΖΑΚΟΥΛΙΔΟΥ
1912

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,
ΤΥΠΟΙΣ ΑΝΤΩΝΙΟΥ ΚΟΡΟΜΗΛΑ
(Ὁδὸς Πεμπτοπαζάρου, ἀριθ. 3).

1870.

SISMANOGLIO MEGARO

## Μακαριώτατοι καὶ ἁγιώτατοι Πατριάρχαι, Ἱερώταται καὶ ἅγιαι Σύνοδοι,

Ἐκ τῶν ἀμφὶ μεσοῦντα τὸν Δεκέμβριον τοῦ ᾳωξή σωτηρίου ἔτους πρός τε τὰς λοιπὰς ὁμοδόξους Ἐκκλησίας, καὶ πρὸς τὴν ὑμετέραν ἐν Χριστῷ περιπόθητον ἡμῖν καὶ σεβασμίαν Μακαριότητα σὺν τῇ περὶ αὐτὴν Ἱερᾷ Συνόδῳ ἀπολυθέντων ἡμετέρων Πατριαρχικῶν καὶ Συνοδικῶν ἐγκυκλίων γραμμάτων, καὶ τῶν ἐπισυναφθέντων ἐγγράφων τῶν περὶ τοῦ πολυκρότου Βουλγαρικοῦ καλουμένου ζητήματος, τοῦ συνταράξαντος τὸν ἁγιώτατον Πατριαρχικὸν καὶ Οἰκουμενικὸν τοῦτον Θρόνον, ἔγνωσται ἤδη αὐτῇ τε καὶ πᾶσι πάντως τοῖς τὰ γράμματα ἡμῶν ἐκεῖνα, τύποις ἐκδεδομένα, πεφροντισμένως ἀναλεξαμένοις πάντα μονονοὺ τὰ κατὰ τὴν ὑπόθεσιν ταύτην, καὶ τὰς οὐ καλὰς αὐτῆς ἀφορμὰς, καὶ δὴ καὶ τὰς σχετλίας ἐκβάσεις, συλλήβδην μὲν καὶ ἐν κεφαλαίῳ ὡς ἐν ἐπιστολῇ, ἀρκούντως δὲ τοῖς κρίνειν αὐτὰ νομίμως ἐθέλουσι σεβασμίοις προέδροις τῶν τοῦ Θεοῦ ἁγίων Ἐκκλησιῶν, ὧν τὴν ἀδελφικὴν καὶ πεπνυμένην ψῆφον ᾐτησάμεθα τὸ τηνικαῦτα ὑπὲρ τοῦ συναγεῖραι Σύνοδον Οἰκουμενικὴν, καὶ ἐπ' αὐτῆς καθάπαξ λύειν τὰ ἐκ τῶν καινοτομεῖν προῃρημένων εὐσεβῶν Βουλγάρων ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ ἀμφισβητούμενα καὶ ζητούμενα. Ὁπότε γὰρ τὰ παρ' ἐκείνων οὐ πρὸ πολλῶν ἐνιαυτῶν προβαλλόμενα αἰτήματα, ταῖς τοῦ Κωνς/πόλεως διοικητικαῖς καὶ πατριαρχικαῖς προνομίαις ἐμφανῶς ἐπηρεάζοντα, σαφῶς ἐναντιοῦται καὶ τοῖς καθεστῶσιν Ἐκκλησιαστικοῖς θεσμοῖς καὶ κανόσιν· ἡμῶν δὲ τὰ πρὸς εἰρήνην καὶ ὅσα περ ἐπὶ τὸ χριστιανικώτερον προβιβάζει φρόνημα πάντα τέως ἄκρᾳ καὶ πατρικῇ τῇ στοργῇ καὶ συγκαταβάσει ἀπαντλησάντων μέχρι καὶ τοῦ ἀφεῖναί τινα ὧν ἡμῖν προσήκει νομίμως, οὐδὲν ὅμως ἀπονάμενοι ἢ ἐνδόντες οἱ τῆς οἰκτρᾶς ταυτησὶ διχο-

SISMANOGLIO

στασίας ὑποβολεῖς, ἀεὶ δὲ νέας καὶ τοῦ κανονικοῦ καὶ πρέποντος μᾶλλον ἀφεστηκυίας καὶ ἀπεσχοινισμένας προτάσεις προτείνοντες, περιϊστᾶσιν εἰς ψιλὸν ἄντικρυς ῥῆμα τὸ τῆς εὐαγγελικῆς ἀγάπης καὶ ἑνότητος θεοδίδακτον δόγμα· καὶ ὅπου μίαν μέν τινα τῶν ἐπὶ μέρους Ἐκκλησιῶν ἴσως ἐνδέχεται, καθ' ἑαυτὴν βουλευομένην, ἀστοχῆσαί ποτε τοῦ ὀρθοῦ καὶ δικαίου, οὐ μὴν ὁμοίως ἐνδέχεται σφαλῆναι καὶ ἁμαρτεῖν τὴν σύμπασαν Οἰκουμενικὴν Ἐκκλησίαν, ἣν πιστεύομεν ϛύλον καὶ ἑδραίωμα τῆς ἀληθείας, ὅταν κοινὴν ποιῆται βουλὴν ἐν ἁγίῳ Πνεύματι· πῶς οὐκ ἐχρῆν ἐπὶ τοιαύτην καθολικὴν καὶ θεοσύλλεκτον Σύνοδον ἐκκαλεῖσθαι τὴν ψῆφον ὡς ὕπατον καὶ θεοφράδμον δικαιωτήριον;

β'. Αἱ μὲν οὖν κατὰ τόπους τοῦ Θεοῦ Ἐκκλησίαι, Πατριαρχικαὶ καὶ Συνοδικαί, πᾶσαι πρὸς τὰ παρ' ἡμῶν ἡδέως ἀποκρινάμεναι, ῥήμασιν ἀκραιφνεστάτης ἀγάπης καὶ συμπαθεστάτης φιλαδελφίας παραμυθούμεναι, ὑπεκούφιζον ἡμῖν τὸν ἐκ τῶν Βουλγαριστῶν ἐπανεστηκότα σάλον, τὸν τὸ θεοπαγὲς καὶ παναρμόνιον τοῦτο σκάφος ἀεικῶς κατασυντρίψειν ἀπειλοῦντα κατὰ τῶν εὐαγγελικῶς ἀβάτων καὶ ἀνηλίων τοῦ ἐθνολογικοῦ φυλετισμοῦ πετρῶν. Αἱ δὲ πᾶσαι, γνοῦσαι καὶ διασκοπήσασαι τὸ ζήτημα τοῦτο, οἷον παρεσχημάτιστο διὰ τῶν ὡς ἡμᾶς προπέρυσι (τῇ η ὀκτωβρίου, ͵αωξη) διαπεμφθέντων δυοῖν ὑπουργικῶν σχεδίων, τοιάν δέ τινα γνώμην κεφαλαιωδῶς ἐν τοῖς γράμμασιν ἀπέφαινον. Ἐδόκει γὰρ αὐταῖς πάσας τὰς τοῦ Βουλγαριστικοῦ θιάσου ἀξιώσεις (πλὴν μιᾶς, τοῦ ὁμόγλωσσον προσήκειν εἶναι τὸν ποιμένα τῇ ποίμνῃ), τῇ τε Ἐκκλησιαστικῇ νομοθεσίᾳ ἐκ τοῦ συστάδην ἀντιστρατευομένας καὶ τὴν εὐαγγελικὴν ἑνότητα διασπώσας, καὶ πρακτικῆς ἔτι ἐφαρμογῆς πάμπαν ἀμοιρεῖν χωρὶς τῶν διηνεκῶν ἐρίδων καὶ τῶν σκανδάλων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· καὶ μὴν καὶ τὴν ἡμετέραν γνώμην περὶ τοῦ ἐν Οἰκουμενικῇ Συνόδῳ λύεσθαι τὴν ἔριδα αἱ πᾶσαι ἠσπάζοντο χρῆναι πλὴν τῆς ἁγιωτάτης Συνόδου τῆς Ῥωσσίας, ἣ καὶ αὐτὴ κατέκρινε μὲν τά τε σχέδια καὶ τούς, ἄνευ τοῦ συναινέσαι τὴν νόμιμον αὐτῶν ἐκκλησιαςικὴν ἀρχήν, Ἐκκλησίαν ἄλλην συνιστάναι ἐπειγομένους, σχισματικοὺς διαῤῥήδην ἀποκαλοῦσα, οὐ μὴν ὁμοίως ἡδέως τὴν περὶ Οἰκουμενικῆς Συνόδου γνώμην ἀπεδέχετο, τὴν ὡς ἐκ τοῦ ὑπ' αὐτῆς ἐξενεχθησομένου ὅρου ἐπὶ μᾶλλον τυχὸν σκλήρυνσιν τῶν ἀρχηγῶν τοῦ Βουλγαρισμοῦ ὑφορωμένη, ὡς ἔλεγε. Τοιαῦτα καὶ παραπλήσια τῶν θεοφωτίστων Ἐκκλησιῶν ἡμῖν ἀντεπεσταλκυιῶν (ἀπὸ Ἰανουαρίου ἕως Ἀπριλίου ͵αωξθ'), ἡμεῖς οὔτ' ἀντιδοξοῦντες αὐταῖς περὶ

SISMANOGLIO



τῶν κοινῇ λυσιτελούντων πάσῃ τῇ Ἐκκλησίᾳ, οὔτε τι νεωτερίσαι προθυμούμενοι τὸ παραυτίκα καὶ ἐξ ὑπογυίου περὶ τέκνων σφόδρα ἐν Χριςῷ πεφιλημένων, τὰ δὲ πάντα τῷ φιλανθρώπῳ καὶ παντοδυνάμῳ Θεῷ ἐπιτρέψαντες, τὸ λοιπὸν ἠβουλόμεθα ἡσυχίαν ἄγειν, εἴ πως τῇ τῆς θείας χάριτος αἴγλῃ ἢ τὸ φυλετίζον κόμμα, ταχὺ μεταβουλευσάμενον καὶ σωφρονῆσαν, τὴν εὐθυτέραν τράποιτο· ἢ ἡ κραταιὰ γοῦν Κυβέρνησις, φιλολάως ἐποικτείρουσα τὸ ἠθικῶς ἐκτραχηλισθὲν καὶ ἀπολλύμενον Βουλγαρογενὲς καὶ Βουλγαρόφωνον ὑπήκοον, ἰάσαιτο τὸ τραῦμα φαρμάκῳ δραστικῷ, ἀκώλυτον ἐῶσα κατὰ τὰ πάτρια συνάγεσθαι τὴν ἀπὸ πάσης τῆς Ὀρθοδόξου Ἐκκλησίας Σύνοδον, σῶμα ἅγιον καὶ θεοκίνητον πιστευόμενον καί, ᾗ τοιοῦτο, πᾶσαν ἐπιφερόμενον ἀξιοπιστίαν ψήφου θεοκράντου, καὶ τοῖς πιστοῖς ἀπαρατρέπτου καὶ ἀνεκκλήτου, οἷα δὴ προγεγραφότες τυγχάνομεν ἐν τῇ ἀπὸ τῆς ἐκκαιδεκάτης Δεκεμβρίου ͵αωξη' Ἐγκυκλίῳ ἡμῶν. Οὐ μὴν ἤρεσκε ταῦτα καὶ τοῖς πρωταγωνισταῖς τοῦ Βουλγαρισμοῦ. Ἐννέα γὰρ τὸν ἀριθμὸν Βούλγαροι λαϊκοί, τρεῖς συμπαραλαβόντες τὴν μὲν περιβολὴν καὶ τὴν προσωνυμίαν Ἀρχιερέας Χριστοῦ, ἔργῳ δὲ ἀρχιερατικοῦ φρονήματος καὶ τρόπου πόῤῥω ἀφεστηκότας, ἄμφω φαμὲν τοὺς προκαθῃρημένους καὶ τρίτον τὸν ἐς δεῦρο Μητροπολίτην ἐπωνυμούμενον Φιλιππουπόλεως Πανάρετον, καὶ κατὰ τὸ ἐν Βοσπόρῳ Μεσάχωρον (τὸ τουρκιστὶ Ὀρτάκιοϊ) τὴν ἕδραν αὐτῶν πήξαντες, κἀκεῖθεν τὰς δημοκοπίας αὐτῶν ἐξακοντίζοντες πανταχόσε, οὗ ἂν ἡγήσωνται ἐπιχειρητέον εἶναι καὶ ἄρδην καθαιρετέον ἤτοι βίᾳ ἢ δόλῳ πάντα φραγμὸν ἐκκλησιαστικὸν ἢ διοικητικόν, τοῖς σφετέροις ἐπιπροσθοῦντα βουλεύμασι, πρῶτον μὲν οὐδὲ τὴν τῆς καθόλου Ἐκκλησίας κατὰ τῶν εἰρημένων δύο σχεδίων θεόπνευστον ψῆφον αἰδούμενοι, αὐτοῖς δὲ τούτοις τοῖς σχεδίοις, ὥσπερ ἑρμαίῳ τινὶ ἐμπεσόντες, καὶ καθάπερ θεῖον δώρημα συνεγκολπωσάμενοι, ταῦτα μὲν ἐμεγάλυνόν τε καὶ ἐμακάριζον ἐν τοῖς ὀπαδοῖς αὐτῶν ὡς κανονικὰ καὶ τοῖς Βουλγάροις ἐθνοσωτήρια· τὴν δὲ καθ' ἡμᾶς Ἐκκλησίαν ἀπηνέστατα διέσυρον καὶ ἐσυκοφάντουν, ὡς ἀπὸ κακοβούλου γνώμης καὶ διαθέσεως ἀδικοῦσαν αὐτούς, καὶ κατὰ προσποίησιν κηρύττουσαν ἀντικανονικὰ καὶ ἀντορθόδοξα τὰ καθ' αὑτὰ ὀρθὰ καὶ κανονικώτατα· τύποις δὲ ἐκδεδωκότες τὰ σχέδια Βουλγαριστὶ καὶ Ἑλληνιστὶ καὶ Τουρκιστὶ καὶ Γαλλιστὶ μετὰ ἀναλόγου προλόγου κατὰ χιλιάδας ἀντιτύπων, παραχρῆμα διεδίδοσαν κατὰ τὴν Βουλγαρίαν καὶ ἀνὰ τὴν Θράκην πᾶσαν καὶ τὴν Μακεδονίαν, λελύσθαι κατ' εὐχὴν ἰσχυριζόμενοι τὸ

ζήτημα, καὶ γράμμασι πυκνοῖς ἰδιωτικοῖς τε καὶ ἐγκυκλίοις (οἷον τὸ τῆς ἑ Νοεμβρ. αωξή ὑπ' ἀριθ. 1) ἐνθουσιωδῶς παραθαρσύνοντες καὶ προτρεπόμενοι σύμπαν τὸ Βουλγαρικὸν δοξολογίας ἀναπέμπειν τῷ Ὑψίςῳ ἐπι νικίους ἐπὶ τῇ σφῶν ἀπολυτρώσει, καὶ τὴν ἀνέλπιστον ἀπελευθέρωσιν δημοτελῶς πανηγυρίσαι ἐν τοῖς ἱεροῖς αὐτῶν ναοῖς, τῇ ἕκτῃ μάλιστα τοῦ Δεκεμβρίου μηνὸς, οὐ μόνον ἱεραῖς δεήσεσι καὶ λιταῖς, ἀλλὰ δῆτα καὶ κοιναῖς χαριστηρίοις ἱκετηρίαις πρός τε τὴν Α. Αὐτοκρατορικὴν Μεγαλειότητα, τὸν μεγάθυμον Σουλτάνον, καὶ πρὸς τοὺς ἐκλάμπρους Ὑπουργοὺς αὐτοῦ, ὡς ἀποδεδωκότας αὐτοῖς τὸν πατρῷον κλῆρον, καὶ αὐτοκέφαλον ἀνηγορευκότας τὴν ἑαυτῶν Ἐκκλησίαν. Οὐκ ἐκτραγῳδήσομεν τὰς ἐπὶ τούτῳ πομπεύσεις καὶ τὰ σκώμματα καὶ τὰς ἀτασθάλους ἐπιδείξεις καὶ τὰ σκάνδαλα τῶν ἐφαρμάτων τούτων πανηγύρεων, ἐν αἷς παρὰ τὰ ἄχραντα καὶ θυηφόρα θυσιαστήρια ἀναστηλωθεῖσαι συνεδοξολογήθησαν μετὰ τῆς Δεσποτικῆς καὶ Θεομητορικῆς καὶ τῶν λοιπῶν σεβασμίων εἰκόνων αἱ ἀνίεροι καὶ βέβηλοι τῶν τριῶν καθῃρημένων ἀρχιερέων, ὡς πρωτομαρτύρων τῆς Βουλγαρικῆς φυλῆς· εἶεν—τοῖς δὲ πᾶσι πανταχοῦ παρῄνουν παντὶ σθένει καὶ ᾗ τάχους ἐκποδὼν ποιήσασθαι καὶ ἀποσείσασθαι τὸν ἀλλοεθνῆ ζυγὸν τοῦ Γραικικοῦ Πατριαρχείου· οὐ μὴν δ' ἀλλὰ καὶ προσκλητηρίοις ἐκνόμοις πάντας προσεκάλουν τοὺς ἤδη βουλγαρίζειν ἐπαγγελομένους, ἢ ὁπόσους βουλγαρίσειν ᾤοντο τῶν ἐπὶ Θρᾴκης καὶ Μακεδονίας Μητροπολιτῶν τοῦ Θρόνου, ἀποςῆναι μὲν ὡς τάχος ἀπὸ τῆς Ἐκκλησίας, καὶ τοὺς ὅρκους ἀθετῆσαι τοὺς πρὸς αὐτὴν, θᾶττον δὲ συμμίξαι τοῖς ἐν τῷ Μεσαχώρῳ τοῦ Βοσπόρου συναγηγερμένοις παρασυνάκταις, ἵν' ἐν κοινῇ Βουλγαρικῇ Συνόδῳ καὶ ὁμηγύρει τὰ τῆς ἠλευθερωμένης, ἔφασαν, αὐτῶν Ἐκκλησίας συντάξαιντο καὶ κανονίσειαν, καθὼς ἂν αὐτοῖς ἀρέσκῃ. Τῶν δὲ μεταπεμφθέντων Ἀρχιερέων τοῖς μὲν ἀπειθήσασι καὶ οὐκ ἀποστᾶσι δεινὸς ἠπειλεῖτο διωγμός· καὶ πρὸς τῷ διωγμῷ ἐντόνως ἀπηγορεύετο πᾶσι τοῖς ὑπὸ τούτοις ἱερατεύουσι τό τε κανονικὸν μνημόσυνον καὶ πᾶσα ὑποταγὴ καὶ πειθαρχία· εἰ δέ τις αὐτῶν ἐπιπολαιότερος καὶ πρὸς καινοτομίας εὐπετέςερος, ἢ τοῦ παραυτίκα κέρδους ἥττων, οἷοι ὤφθησαν ὅ τε Λοφτζοῦ ἐπισκοπεύων καὶ οἱ Μητροπολῖται Βιδύνης, Σοφίας καὶ Νυσσάβας, τούτων οἱ μὲν εὐθὺς τῆς ἐπὶ Κωνςαντινούπολιν ὁδοῦ ἁψάμενοι, ῥᾷστα τῇ ἐν Μεσαχώρῳ παρασυναγωγῇ προσετίθεντο· οἱ δ' ἀμφὶ τὸν Σοφίας καὶ τὸν Νυσσάβας, οἷα γοργότεροι καὶ νεανικώτεροι περιοδευταὶ, ἀπόστολοι τῆς ἀνταρσίας εἰς τὰς ἐπαρχίας ἀπο-

SISMANOGLOU



σταλέντες παρὰ τῶν ὧδε φατριαρχῶν, δύω καὶ πονηρὰς ἐποίουν ἀντικανονικότητας· καὶ τὸν ἁπλοῦν γὰρ καὶ ἄκακον λαὸν ἀνεστάτουν ὑπερεθίζοντες, τρόποις μωμητοῖς αὐτοὺς μετιόντες, καὶ ἱερέας ἐχειροτόνουν ἀπὸ τοῦ οἰκείου κόμματος πανταχῇ, ἔνθα τοὺς ὄντας ἑώρων στεῤῥῶς ἐγκειμένους καὶ ἐφησυχάζοντας τοῖς καθεςῶσι νόμοις καὶ ἤθεσιν, οὔτ' ἀνταρτῶν καὶ καθῃρημένων ἐπισκόπων μνημονεύειν ἀνεξομένους, εἴτι καὶ γένοιτο.

γ'. Καὶ ἦν ἰδεῖν τὴν ἐκλογάδα τοῦ Κυρίου πολλαχῇ δεινῶς καὶ ἀεικῶς φθειρομένην καὶ ληϊζομένην παρὰ ληστῶν, ἐν ὁμοιώματι ποιμένων περιτρεχόντων ποίμνας ἀλλοτρίας· παντοδαπούς τε ψευδοϊερέας ζευγνύντας καὶ διαζευγνύντας τὸν παρατυχόντα, δεσμεύοντάς τε καὶ λύοντας, καθὼς ἂν τύχῃ, ἐν δὲ λάκκῳ καὶ βορβόρῳ (φεῦ!) βαπτίζοντας διὰ τὸ φυλάττεσθαι τὰς ἱερὰς κολυμβήθρας ὑπὸ τῶν γνησίων πρεςβυτέρων· ἀντὶ δὲ θείου μύρου τῷ κοινῷ ἐλαίῳ χρίοντας, καὶ ὅλως ἱερατικοῖς τοῖς τρόποις καὶ τοῖς σχήμασιν ἀγύρτας λαϊκοὺς καὶ λαοπλάνους, ἐλάττονι ἢ πλείονι ἀργυρίῳ τὸν γνήσιον τῆς Ἐκκλησίας μετερχομένους λειτουργὸν καὶ διδάσκαλον, διδάσκαλον οὐ τῆς ἀληθείας, ἀλλὰ τοῦ ψεύδους καὶ τῆς ἀπάτης. Εἰκότως· πῶς γὰρ οὐκ ἐν ἀνύδροις καὶ ἀβάτοις ὁδοῖς καὶ τόποις πορεύσονται εὔπιστοι καὶ ἀμαθεῖς Χριστιανοὶ, τοιούτοις ὁδηγοῖς ἀκολουθοῦντες, ἀμφοτέραις ταῖς ἰγνύαις χωλαίνουσιν, ἢ τοὔνομα μόνον καὶ τὴν πρόσοψιν φερομένοις τῶν ἀληθινῶν ποιμένων; Δυστήνῳ δὲ μοίρᾳ, εἶχον οἱ καλοὶ οὗτοι ποιμένες καὶ μύσται τοῦ Βουλγαρισμοῦ, εἶχον συνυποστηρίζον τὴν τηλικαύτην αὐτῶν ἀδικίαν καὶ θρασύτητα τὸ ἐκ τῶν τοπικῶν ἀρχῶν ὀλίγωρον καὶ ἄκρως μαλακὸν, ἐξ οὗ δὴ καὶ οἱ τὰ πρῶτα τῶν κατοίκων φέροντες ἐν δυνάμει καὶ πλούτῳ ἀναφανδὸν συνετάραττον καὶ συνεκύκων τὰς πόλεις καὶ τὰς ἐνορίας, τὰς Ἐκκλησίας καὶ τὰς Σχολάς· τοὺς δέ τοι κανονικοὺς ποιμένας οὕτω συνέπνιγον πανταχόθεν καὶ κατεπίεζον, ὡς ἤτοι μεταπεσεῖν ἐνίους αὐτῶν εἰς τὴν ἰλὺν τοῦ Βουλγαρισμοῦ ἑκόντας ἀέκοντας, ἵνα πραγμάτων καὶ πειρασμῶν ἀπαλλάττοιντο, ἢ τὴν τῆς οἰκείας Μητροπόλεως ἕδραν ὑπ' ἀνάγκης καταλιπόντας καταστενοχωρηθῆναι, καὶ λαθεῖν που ἔν τινι χωριδίῳ τῆς παροικίας, ἕως ἂν παρέλθῃ καὶ αὕτη ἡ ὀργὴ Κυρίου, ἡ ἐνσκήψασα διὰ τὰς ἁμαρτίας ἡμῶν· ἔστι δὲ οὓς καὶ ὡς ἡμᾶς ἐπὶ τὴν Βασιλεύουσαν κατελθόντας σώζειν τό τε σαρκίον καὶ τοὺς ὅρκους καὶ τὴν συνείδησιν καὶ τὴν ἀεὶ ἀφυλέτιστον ὀρθοδοξίαν.

δ'. Τοιαῦτα οὖν ἡμεῖς καθ' ἡμέραν ὑπενεργούμενα καὶ πανταχοῖ διαβεβοημένα βαρυαλγῶς τὰ μὲν ἐνηχούμενοι, ἔστιν ἃ δὲ καὶ θεώμενοι, τί ἂν εἴχομεν δρᾷν πέρα τοῦ λόγου καὶ τοῦ ὑπερβολῇ φιλανθρωπεύεσθαι; Καὶ δὴ ὅπλου θεοφιλοῦς καὶ λογικοῦ τοῦ λόγου λαβόμενοι, τὰς περὶ τετελεσμένης λύσεως τῆς τῶν Βουλγάρων ἐκκλησιαστικῆς διαφορᾶς διαδιδομένας σπερμολογίας ἐπισημότερον καὶ γενικώτερον διαψεύδοντες, τό τ' ἀληθὲς τῶν γεγονότων διασαφοῦντες, ἤδη λήγοντος τοῦ ᾳωξῆ σωτηρίου ἔτους (τῇ ϐ'. καὶ τῇ ζ'. τοῦ μηνὸς Δεκεμβρίου), δύω ἐξέδομεν ἐκκλησιαστικὰς ἐγκυκλίους πᾶσι τοῖς ὑπὸ τὸν Θρόνον Ἱερωτάτοις Μητροπολίταις καὶ τοῖς ὑπ' αὐτοὺς τελοῦσι Θεοφιλεστάτοις Ἐπισκόποις καὶ λοιποῖς χριςιανοῖς, ἐν αἷς παρηγγυῶμεν καὶ προὐτρεπόμεθα ἐμμένειν ἑδραίους τῇ τῶν πραγμάτων ἀληθείᾳ, ἀπεκδεχομένους μετὰ τῆς Ἐκκλησίας τὴν τῆς ἁγίας Οἰκουμενικῆς Συνόδου συγκρότησιν, καὶ, οἷα πρέπει ποιμέσι τοῦ λαοῦ καὶ διδασκάλοις, διδάσκειν καὶ ποδηγετεῖν τοὺς εὐσεβεῖς, μήτε πλανᾶσθαι, μήτε ἀπερισκέπτως γίγνεσθαι ἀνθρώπων ὄργανα, τὸ αὐτοῖς ἴδιον ἐπιδιωκόντων συμφέρον (Ἀριθ. 2 καὶ 3). Ἐν τῷ αὐτῷ δὲ χρόνῳ τρεῖς καὶ τῷ ὑψηλοτάτῳ Πρωθυπουργῷ διακοινώσεις (τακρίρια) διαβιβάσαι τεθαῤῥήκαμεν τῇ γ'. τῇ ιγ'. καὶ τῇ κ'. τοῦ αὐτοῦ μηνὸς καὶ ἔτους, ὑπομνῆσαι γλιχόμενοι τὴν αὐτοῦ περίνοιαν, ὡς οὐδὲν ἄρα καθ' ἑαυτὰς αἱ προνομίαι καὶ τὰ βεράτια, οἱ νόμοι καὶ οἱ κανόνες, ἡ λογικότης καὶ τὰ κατὰ θεωρίαν δίκαια ἐν ἀπαιδεύτοις καὶ ταραχωδεςέροις ἀνθρώποις δίχα τῆς Κυβερνητικῆς περιστολῆς καὶ συνεργείας, ἣν οὐδὲν μᾶλλον ἐπὶ τῆς φυσικῆς καὶ τῆς πολιτικῆς ζωῆς καὶ εὐημερίας, ἢ καὶ ἐπὶ τῆς καθεςώσης ἠθικῆς καὶ θρησκείας τοῦ ὑπηκόου ἐπεκτεινομένην οἴδαμεν, ὑπηκόου οὐ κατὰ φυλὰς καὶ ἔθνη, ἀλλὰ καθ' ὡρισμένα δόγματα καὶ θρησκεύματα πολιτευομένου.

έ. Αἱ διακοινώσεις αὗται (Ἀριθ. 4. 5. 6), περὶ τῶν ἐν Κωνς/πόλει καὶ κατὰ τὰς Ἐπαρχίας βουλγαριστικῶν ἀτακτημάτων καὶ σκανδάλων τὸν λόγον ποιούμεναι, καὶ τὴν προσήκουσαν καὶ ταχινὴν ἀρωγὴν καὶ προστασίαν τῆς φιλονόμου Κυβερνήσεως ἐμμονώτερον ἐπικαλούμεναι, ἰσχυραὶ καθ' ἑαυτὰς διὰ τὸ ἐπ' αὐτῶν τῶν νόμων τῆς Αὐτοκρατορίας καὶ τῆς Ἐκκλησίας ἀκραδάντως ἐφηδρᾶσθαι, γραπτῆς μὲν ἀπαντήσεως οὐκ ἔτυχον· ἀλλὰ κατὰ τὴν αὐτοπρόσωπον τῆς ἡμῶν Μετριότητος ἐπίσκεψιν τῇ λά. Δεκεμβρ. ᾳωξή. ἀπὸ ζώσης φωνῆς ἀνεκοινώσαντο ἡμῖν οἱ ὑψηλοὶ Ὑπουργοὶ, ὅτι ἐντολὰς μὲν καὶ ὁδηγίας περὶ τοῦ λελυμένον εἶναι τελειω-

SISMANOGLIO



τικῶς τὸ κατὰ τοὺς Βουλγάρους ζήτημα, οὐδαμῶς ἐκπέπομφεν ἡ Ὑψηλὴ Πύλη, οὐ γὰρ ἐπιμίγνυται (ἔφασκον) τοῖς τῶν ὑπηκόων θρησκεύμασι· πέπομφε μέντοι τὰ δύω προειρημένα σχέδια εἰς τρεῖς μόνας Νομαρχίας, καὶ τιμωρήσειν καθυπισχνοῦντο, εἴ τις που τῶν διοικητῶν ἢ τῶν παρ' αὐτοῖς συμβούλων ἄλλα παρὰ τὰ ἐντεταλμένα πράττειν φωρῷτο· καὶ ἄλλα τοιαῦτα παραμυθητικὰ ῥήματα ἐξεῖπον ἡμῖν, ἐν οἷς κἀκεῖνο, ὅτι περιττὴν ἡγεῖται ἡ Α. Ὑψηλότης τὴν τῆς Οἰκουμενικῆς Συνόδου συγκρότησιν, εἰ οἷόν τε γένοιτο αὖθις ἀναδραμεῖν, εἰς ὃ ἡμεῖς προανεκοινωσάμεθα τοῖς Ὑπουργοῖς (κατὰ Ἰούνιον τοῦ ᾳωξζ' ἔτους) ἴδιον σχέδιον. Καὶ γὰρ ἦμεν δεδωκότες τοιοῦτον, οἷον ὑπηγόρευσεν ἡ σιδηρᾶ ἀνάγκη τοῦ σῶσαι τοὺς ἠθικῶς κινδυνεύοντας Βουλγάρους. Τὰ μὲν οὖν παρὰ τῶν Ὑπουργῶν τοιαῦτα ὡς ἐν κεφαλαίῳ καὶ οὕτω γενναῖα καὶ ἐνθαῤῥυντικά· ἀλλὰ γὰρ οὔτε τὰ ἐν ταῖς ἐπαρχίαις ἐλῶφα ῥᾳδιουργήματα, οὔτε τοὺς βουλγαριςὰς ἀρχιερεῖς, ἄλλους παρὰ τοὺς προενδεδημηκότας, ἑωρῶμεν ἐπισχομένους τοῦ μὴ συνάγεσθαι κατὰ τὸ Μεσάχωρον, ἕως αὐτοῖς ὁ ἱκανὸς συνήθροιστο ὅμιλος πρὸς σύστασίν τε καὶ διοργάνωσιν τῆς ἑαυτῶν κεντρικῆς ἐπιτροπῆς τῆς τὰ κατ' αὐτοὺς ἐσωτερικὰ διοικησούσης, ἥτις καὶ σφραγῖδα φέρειν ἐπισήμως ἐπετράπη βραδύτερον. Οὐκοῦν σφόδρ' ἀθυμοῦσιν, οὔτε ἔχουσιν ὅπως διαθείημεν τηλικοῦτο πρᾶγμα, πολλάκις ἔννοια ἡμῖν ἐγένετο ἤτοι κλείσαντας τὰ οὕτω φανερῶς καὶ νηποινεὶ λῃςευόμενα Πατριαρχεῖα καὶ συνοδικῶς διαμαρτυραμένους ἀπροςάτευτα ἐγκαταλιπεῖν τὰ ποίμνια ἡμῶν καὶ τὰς προνομίας· ἢ τοὺς ἀντάρτας ἀρχιερεῖς κανονικῇ καὶ δικαίᾳ καθαιρέσει κατακρῖναι· ἢ μᾶλλον ἐλπίδι τοῦ ἐνεργῆσαι τίποτε ἀφ' ἑαυτῶν καὶ τοὺς ἐξοχωτάτους Ὑπουργοὺς ἄξιον τῶν ἱστορικῶν παραδόσεων τοσούτων αἰώνων καὶ τῆς εὐνομίας τοῦ Κράτους, πάλιν ὑπομεῖναι καὶ φιλανθρωπεύσασθαι, εἴ πως οὐρανόθεν ἐπανατεῖλαι θεῖόν τι ἄκος καὶ μάλαγμα, οἵου ἐδεῖτο οὐχ ἥκιστα καὶ τὰ πολλὰ ἡμῶν ἀσθενήματα.

ς'. Ἐπεὶ δ' ἐν τοῖς λειποτακτήσασιν ἱεράρχαις μάλιστα πάντων πανουργότατος ἀφ' ὧν εἴργασται ἀναπεφηνὼς ἐςὶν ὁ προμνησθεὶς Πανάρετος Μητροπολίτης Φιλιππουπόλεως, ὁσημέραι λάβρος καὶ ταραχώδης τῇ Ἐκκλησίᾳ ἀντιμετωπιζόμενος, τοῦτον ἔγνωμεν συνοδικῇ διαγνώσει μεταπέμψασθαι, ἐπισήμως ἀπολογησόμενον καὶ σαφῶς ἐροῦντα ὅ,τι τε διενοοῖτο πράττειν, καὶ πῶς ἐθέλοι χρησαίμεθ' αὐτῷ τὸ ἀπὸ τοῦδε. Ἐπὶ τούτῳ τοίνυν διὰ τοῦ ὁσιωτάτου ἀρχιμανδρίτου τῆς καθ' ἡμᾶς Μεγάλης Ἐκκλησίας δὶς αὐτὸν μετεπεμψάμεθα· ὁ δὲ τὴν ἀπείθειαν εἰσέτι συγκα-

λύψαι προθυμούμενος, ὑπέσχετο μὲν ἐλεύσεσθαι, ποικίλας δὲ προφάσεις προὐβάλλετο τῆς ἀναβολῆς, ἀσθένειαν καὶ κακοκαιρίαν καὶ τὰ τούτοις ὅμοια, μετὰ τὴν ἀνάῤῥωσιν αὐτοῦ (ἔλεγε) τὴν κατάβασιν ὑπερτιθέμενος. Τὸ δὲ ἦν ἄρα πονήρευμα ὑπὲρ τοῦ κερδᾶναι χρόνον, εἴ πως μεταξὺ σὺν τοῖς ἄλλοις μύσταις τοῦ βουλγαρισμοῦ χρηματιζόμενοι ἐξεύροιεν μηχάνημά τι προλαμβάνον, ὡς αὐτοί γε ᾤοντο, οἱανδήποτε ἐκκλησιαστικὴν ἐπιτίμησιν.

ζ'. Καὶ δὴ τῇ κγ'. τοῦ μηνὸς Δεκεμβρίου ᾳωξή περὶ δείλην ὀψίαν τέτταρα τῶν λαϊκῶν μελῶν τῆς ἐν Μεσαχώρῳ κεντρικῆς λεγομένης ἐπιτροπῆς τῶν Βουλγαριστῶν, ὡς ἡμᾶς παραγενόμενοι, φιλοφρονέστερόν πως διεβεβαιοῦντο, ὡς διὰ μακροῦ προθυμουμένους προσελθεῖν καὶ προσκυνῆσαι υἱϊκῶς τῷ οἰκείῳ Πατριάρχῃ, ἐκώλυεν αὐτοὺς τὸ τῶν πραγμάτων ἀνώμαλον. Ἡμεῖς δὲ ἀναλόγως ἀποκρινάμενοι, καὶ πᾶν ἔργον μὴ καλῶς ἀρξάμενον, οὐ δυνατὸν εἰς τέλος λῆξαι καλὸν δι' ἱκανῶν ὑποδείξαντες, καὶ τῶν σχεδίων, ἃ τοῦ ζητήματος λύσιν οἴονται, τὸ ἀντικανονικὸν καὶ παράνομον ἀναδιδάξαντες (ὃ δὴ καὶ αὐτοὶ συνωμολόγουν ἐν μέρει ἔν γε τῷ δευτέρῳ σχεδίῳ), ὡς εἴδομεν αὐτοὺς οὐδαμῶς προσέχοντας τὸν νοῦν τοῖς τῆς ἀγάπης καὶ δικαιοσύνης ἡμετέροις ῥήμασί τε καὶ νουθετήμασι, μετὰ πολλῆς μὲν τῆς λύπης, ἠρόμεθα δ' ὅμως αὐτούς, τίς ἄρα εἴη ὁ σκοπὸς τῆς πρὸς ἡμᾶς προσελεύσεως. Ἥκομεν ἐγχειριοῦντες, ἔφασαν, τῇ ὑμετέρᾳ Θειοτάτῃ Παναγιότητι τὴν τῶν ἔναγχος ἐνδημησάντων κατὰ τὸ Βοσπορικὸν Μεσάχωρον Βουλγάρων Ἀρχιερέων ἀπὸ τῆς εἰς τὸν Οἰκουμενικὸν Πατριαρχικὸν Θρόνον ὑποταγῆς γραπτὴν παραίτησιν, καὶ προσαγγελοῦντες, ὡς τὸ λοιπὸν τῇ ὀρθοδόξῳ ἐθνικῇ Βουλγαρικῇ Ἐκκλησίᾳ ἑαυτοὺς ὑποτετάξονται. Ταῦτα δ' εἰπόντες, εὐθέως παρακατέθεντο ἔμπροσθεν τῆς ἡμῶν Μετριότητος συνεπτυγμένον τὸ ἔγγραφον. Ἡμεῖς δ' ἐκπλαγέντες, ὡς εἰκός, τῇ ἀκοῇ, καὶ τὸ ἔγγραφον οὕτω προκεῖσθαι ἐάσαντες, τήν τε ἀθυμίαν καὶ τὸ θάμβος ἡμῶν ἐπὶ τῇ τηλικαύτῃ τῶν Ἀρχιερέων τούτων ἀπονοίᾳ αὐτοῖς ἐδηλώσαμεν, καὶ μηδαμῶς τὴν τοιαύτην παραίτησιν τῆς πρὸς τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας εὐθύνης αὐτοὺς ἀπαλλάττειν δι' ἱκανῶν ἐδιδάξαμεν, ἀλλ' ὅτι πάντως ἐπίορκοι καὶ ἀποστάται τῆς οἰκείας νομίμου καὶ κανονικῆς ἐκκλησιαστικῆς ἀρχῆς εἰσί τε καὶ λογισθήσονται ἐνώπιον τῆς καθόλου Ἐκκλησίας, εἰμὴ θᾶττον ἐπανορθώσαιντο τὸ παράπτωμα· ὃ δὲ ἐκόμισαν ἔγγραφον, τοῦτ' ἐν δέοντι συσκεψάμενοι τῇ περὶ ἡμᾶς ἱερᾷ Συνόδῳ, ἔφημεν ὅτι γνωριοῦμεν καὶ αὐ-



τοῖς ὅ,τι ἂν δόξῃ. Οἱ μὲν οὖν ἀνεχώρουν· τῇ δ' ἐπιούσῃ ἐπὶ Συνόδου ἀναγνωσθὲν τὸ ἔγγραφον, ὑπογεγραμμένον ὑπὸ τοῦ Φιλιππουπόλεως Παναρέτου, τοῦ Σοφίας Δωροθέου καὶ τοῦ Λοφτζοῦ Ἱλαρίωνος, (οἷς μετ' οὐ πολὺ ἐπηκολούθησε καὶ ὁ Βιδύνης Ἄνθιμος· βραδύτερον δὲ καὶ ὁ Βελισσοῦ Γεννάδιος), κεφαλαιωδῶς ἀφηγεῖτο, ὅτι μετατιθέασι τοὺς ὅρκους αὐτῶν καὶ τὴν κανονικὴν ὑποταγὴν καὶ λειτουργίαν ἀπὸ τοῦ Οἰκουμενικοῦ Θρόνου ἐπὶ τὴν ἀρχαίαν αὐτοκέφαλον Βουλγαρικὴν Ἐκκλησίαν. Παράλογον οὖν, ὡς εἰκός, καὶ παράνομον καὶ ἀντικανονικότητος γέμον δόξαν, ὥσπερ οὖν ἐστιν ἀληθῶς, τὸ ἔγγραφον καὶ ὁλοκλήρως ἀποδοκιμασθὲν, ἐπεστράφη μεθ' ἡμέραν μίαν τοῖς πέμψασιν Ἀρχιερεῦσι μετὰ τῆς προσηκούσης ἐκκλησιαστικῆς ἀποκρίσεως (Ἀριθ. 7. 8).

ή. Μετὰ δὴ τοιαύτας ἀντικανονικὰς παραιτήσεις καὶ ἀσυστάτους ἀπολογίας, ὥσπερ ἀπόλυτοι καταςάντες κύριοι τοῦ δεσμεῖν καὶ τοῦ λύειν κανόνας καὶ παραδόσεις, καὶ ὥσπερ αὐτοχειροτόνητοι Ἐπίσκοποι τῆς ἀπεριχωρήτου βουλγαροφυλετικῆς Ἐκκλησίας οἱ ἀρχιφυλετισταὶ αὐτῶν, ἢ τὰ ποίμνια ἐξήγειρον κατὰ τῶν οἰκείων κανονικῶν ποιμένων, ἢ τοὺς τοῦ κόμματος αὐτῶν ἀνέπλαττον πολυαριθμοτέρους τῆς ἀληθείας· ἤ, ὃ μέγιςον, ὑψηλὰ προὐκάλουν θεσπίσματα, τὴν ἀνομίαν αὐτῶν νομιμοποιῆσαι σπουδάζοντες. Ὅτε γοῦν, ὡς ἀνωτέρω ἐμνήσθημεν, ἐξεγένετο ἡμῖν ἐντυχεῖν καὶ συνδιαλεχθῆναι τῷ ὑψηλοτάτῳ Πρωθυπουργῷ, τηνικαῦτα μεταξὺ τοῦ λόγου ἐρομένοις ἡμῖν εἰ ἀκωλύτως ἐφεῖται κατὰ τὰ πατροπαράδοτα συγκροτῆσαι Σύνοδον Οἰκουμενικὴν περὶ κανονικοῦ ζητήματος, εἰς ὅλην ἀναφερομένου τὴν ὀρθόδοξον Ἐκκλησίαν, τοῦτο μὲν οὐ κατένευσεν ἡ Α. Ὑψηλότης, ὡς κίνησιν καὶ ὄχλον τάχα τῷ ἱερῷ σώματι τῶν Ἐπισκόπων ἐμποιῆσον· ἐπήρετο δὲ, εἰ οὐχ οἷόν τε ἀντὶ τῆς Οἰκουμενικῆς Συνόδου εἰς τὸ σχέδιον ἐπαναδραμεῖν ἐκεῖνο, ὃ ἡμεῖς ἰδίᾳ ἐν ἔτει ᾳωξζ' ἀνεκοινωσάμεθα τοῖς κορυφαίοις τῶν Ὑπουργῶν· σχέδιον λύσεως ὑφιςαμένης εἰς τὸ βουλγαρικὴν Ἐξαρχίαν ἐγκαταςῆσαι μέσην Αἵμου καὶ Ἴςρου, ἔνθα ἡ κυριώνυμος παρατείνεται Βουλγαρία· ὅπερ ἐστὶν, ἀρχιεπισκοπὴν, ἠρτημένην μὲν ἀπὸ τοῦ Κωνσταντινουπόλεως, ὡρισμένας δὲ περιλαμβάνουσαν Μητροπόλεις καὶ Ἐπισκοπὰς, ἐσωτερικῶς ὑπὸ τῆς ἐπαρχιακῆς Συνόδου διοικουμένην καὶ ᾗ βούλεται δοκίμῳ γλώττῃ ἐν ταῖς ἱεροτελεστίαις χρωμένην, ὑπὸ δὲ τοῦ Οἰκουμενικοῦ Πατριάρχου ἐποπτευομένην, κυροῦντος καὶ ἀσφαλίζοντος τὴν ἐκκλησιαστικὴν ἐνταυτῷ καὶ τὴν πολιτικὴν νομιμότητα τοῦ Ἐξάρχου καὶ τῶν περὶ αὐτὸν Μητροπολιτῶν καὶ δὴ καὶ τὴν εἰω-

θυῖαν ἔχοντος ἔκκλητον περὶ τὰ σπουδαιότατα δογματικά τε καὶ κανονικὰ ζητήματα (Ἀριθ. 9). Ἀνεκαλεῖτο δ'ἡμᾶς εἰς ἐκεῖνο τὸ σχέδιον ὁ Ὑπουργὸς οὐχ ἁπλῶς, ἀλλ'ὑπὸ τὸν ὅρον τοῦ ἐξεῖναί τι καὶ μεταβαλεῖν ἢ τροποποιῆσαι ὑπὲρ τῆς Ἐξαρχίας. Ἡμεῖς δὲ τροποποίησιν ὑπολαμβάνοντες τὸ παραχωρῆσαι μίαν ἔτι ἢ δύω Ἐπαρχίας ἐκ τῶν παρακειμένων, ἀπεκρινάμεθα, ὡς οὐκ ἀδύνατον καὶ τοῦτο γενέσθαι χάριν τῆς εἰρήνης, ἤγε μόνον συναινέσωσιν οἱ περὶ ἡμᾶς Ἀρχιερεῖς καὶ οἱ τὰ πρωταφέροντες τοῦ κατὰ τὴν Πρωτεύουσαν ὁμοδόξου Κλήρου.

θʹ. Ἀναμενόντων τοίνυν ἡμῶν παρὰ τοῦ ὑψ. Πρωθυπουργοῦ τὴν ἐκ κοινῆς ὁμοφωνίας εἰς τὸ ἡμέτερον σχέδιον ἐπαναδρομὴν, αἴφνης διΐκται εἰς τὰς ἡμετέρας ἀκοὰς, ὡς ἄρα ἡ αὐτοκρατορικὴ Κυβέρνησις ὀνομάσειεν ἐξαμελῆ τινα ἐπιτροπὴν ἀπὸ Γραικῶν καὶ Βουλγάρων ἀνὰ τρεῖς, τῶν πάντων λαϊκῶν, συντάξουσαν σχέδιον ἑκατέροις ἀποδεκτόν. Ἡμῖν μὲν οὖν, οἷά περ εἰκὸς, οὐκ ἤρεσκεν ἡ ἀκοὴ, ἀναρμοδίως οἰομένοις αὐτοσχεδιάζειν ἐξ ὑπογυίου περὶ πόλεως Θεοῦ καὶ θεοπαραδότου ἐκκλησιαστικῆς διοικήσεως ἄνδρας λαϊκούς. Ἐπεὶ δὲ, ἀγνοούντων ἡμῶν, ἡ ἐπιτροπὴ καθειστήκει, οὐκ ἦν ἡμέτερον τὸ ἐπικρίνειν τὰς ἀφανῶς διενεργουμένας πράξεις, ἄλλως τε καὶ οὐδενὸς οἵου τε ἐσομένου καθυποχρεῶσαι ἡμᾶς δέξασθαι, εἴτι οὐκ ὀρθῶς ἔχον φαίνοιτο· τοῦθ' ὅπερ ἀνηγγείλαμεν καὶ τῷ ὑψηλοτάτῳ Ὑπουργῷ, αὐτίκα διαμαρτυράμενοι κατὰ τῆς συστάσεως τοιαύτης ἐπιτροπῆς. Χρόνου δέ τινος ἐν μετεώρῳ σιγῇ διαγενομένου, δύω τῶν μὴ βουλγαρικῶν μελῶν τῆς θρυλληθείσης ἐπιτροπῆς, καταβάντες εἰς τὰ Πατριαρχεῖα περὶ φθίνοντα τὸν Μάρτιον τοῦ ͵αωξθʹ ἔτους, ἀνεκοινοῦντο ἡμῖν ὅτι τε εἴησαν μέλη μικτῆς τινος ἐπιτροπῆς, συστάσης ὑπὸ τοῦ Μεγάλου Βεζύρου, ὑφ' οὗ καὶ προεδρεύοιτο, ἐπὶ συντάξει σχεδίου, βάσιν δῆθεν ἔχοντος τὸ ἡμέτερον, καὶ τῇ Ἐκκλησίᾳ καταλλάξοντος τοὺς Βουλγάρους· καὶ ὅτι τοιοῦτον ἤδη συντεταχότες, κομισταὶ ἥκοιεν εἰς τὸ ὑποβαλεῖν αὐτὸ καὶ τῇ ἡμετέρᾳ διασκέψει, ὥστε περιβληθῆναι καὶ τὸ κῦρος τῆς Ἐκκλησίας. Ἡμῖν δὲ κατὰ τὸ εἰκὸς ἀποκριναμένοις μήτ' ἐπιπιτροπὴν τοιαύτην γιγνώσκειν, ἢ παραδέξασθαι ἂν τὰ γεγενημένα, μήτε περὶ Ἐκκλησίας νομοσχέδιον παρὰ πολιτικῆς καὶ λαϊκῆς ἐπιτροπῆς συνηρμολογημένον, ἐκεῖνοι ἀντέφησαν, οὐχ ὡς ἐπιτροπὴ ἐπίσημος παραγεγονέναι, οὔτ' ἐπίσημον, ἢ ὅλως νέον κομίζειν σχέδιον· ἀλλ' ἰδιωτικὸν ὡς ἰδιῶται χριστιανοὶ, μαθεῖν ποθοῦντες παρὰ τοῦ οἰκείου πατρὸς καὶ Πατριάρχου, εἴτι που σφάλλεται κανονικῶς καὶ διορθωτέον, ἢ μᾶλλον ἐλ-



πίδα παρέχεται τοῦ τὴν εἰρήνην ἀποκαταστήσειν, καὶ τοὺς ἐξαμαρτάνοντας διορθώσεσθαι. Ἐπὶ τοιούτοις οὖν ὅροις δεξάμενοι καὶ ἀνεγνωκότες τὸ σχεδίασμα, παῤῥησίᾳ εἴπομεν αὐτοῖς μήτε κανονικῶς ἐῤῥῶσθαι, μήτε ταῖς ἀρχαῖς συνᾴδειν τοῦ ἡμετέρου, ἀλλὰ πάντη ἀνεξάρτητον Ἐκκλησίαν συνιστάναι. Ἔνθεν τοι οὐδὲ ἀνασχομένων ἡμῶν συζητῆσαι τόγε τοιοῦτο σχεδίασμα, ἀπῄεσαν ἄπρακτοι καὶ τὸ κομισθὲν συναποκομίζοντες.

ιʹ. Ὑπέρμηνον δὲ διαλιπόντες, ἐπανῆκον οἱ αὐτοὶ ἕτερον κομίζοντες νομοσχέδιον, βραχύ τι παραλλάττον τοῦ προτέρου, ὥστε ἥττονος ἀτελείας δόκησιν ἔχειν (Ἀριθ. 10), καὶ ἐάσαντες παρ' ἡμῖν ἑκοῦσιν ἀέκουσιν, ὡς ἰδιωτικὸν καὶ τοῦτο, καὶ ὡς χριστιανοὶ ἰδιῶται (ἔφασαν), εἰ καὶ ὑπουργικῷ τῷ κελεύσματι, ἠξίουν καὶ καθικέτευον ἀναγνόντας ἐν ἐπιστασίᾳ, ἅττ' ἂν εὕρωμεν τοῖς ἱεροῖς κανόσι προσκρούοντα, ταῦτα σαφῶς δηλῶσαι τῇ Αὐτοῦ Ὑψηλότητι. Οὐκοῦν προὔργου δόξαν διά τε τὴν ὑπουργικὴν ἀξίωσιν καὶ δι' ἣν προεδεδώκειμεν ὑπόσχεσιν, ὅτι εἴη δυνατὸν τῆς ἁγιωτάτης παραιτηθῆναι Οἰκουμενικῆς Συνόδου, εἴπερ εἰς τὸ καθ' ἡμᾶς ἀναδράμοιεν σχέδιον, ἔστιν ὅπη μεταπεποιημένον, εἰσαγαγεῖν τὸ κομισθὲν σχέδιον ὑπὸ τὴν Συνοδικὴν συνδιάσκεψιν, ἵνα γνοίημεν ὅσον τε τοῦ ἡμετέρου ἀφειστήκει καὶ εἴ τι χωλαῖνον ἦν περὶ τὰ κανονικὰ, ἐκ δυεῖν συνεδριάσεων συνεπορισάμεθα περὶ μόνα τὰ σπουδαιότερα τὰς (ὑπ' ἀρ. 11) ἐν τέλει ἐπισυνημμένας εὐαριθμοτάτας διορθώσεις καὶ παρατηρήσεις.

ιαʹ. Μεθ' ὃ ἡ Μετριότης ἡμῶν μετὰ καὶ δύω συνοδικῶν μελῶν παρὰ τὴν Αὐτοῦ Ὑψηλότητα μεταβάντες (τῇ αʹ Ἰουνίου ͵αωξθʹ) κατ' ἐπίμονον ἐκλιπάρησιν τῶν δύο προμνησθέντων ὁμογενῶν, τὰ συνοδικῶς δεδογμένα ἐπὶ τοῦ σχεδίου (παρόντων καὶ αὐτῶν τῶν τὸ σχέδιον κομισάντων λαϊκῶν) σαφῶς ἐξηγησάμεθα. Ἡ δὲ Αὐτοῦ Ὑψηλότης συντόνως ἐπακροασαμένη τῶν ἡμετέρων ἐνστάσεων καὶ διασαφήσεων, τοῦ μέντοι γράμματος τοῦ σχεδίου τῆς ἐπιτροπῆς ἰσχυρῶς ἀντεχομένη, ὡς δῆθεν ἀβλαβοῦς τοῖς τῆς ὀρθοδόξου πίστεως ἄρθροις, οὐκ ὤκνησεν ἡμῖν ἐξειπεῖν εὐγενῶς μὲν, σαφῶς δὲ καὶ στρογγύλως, ὡς ἄρα ἡ Αὐτοκρατορικὴ Κυβέρνησις, ὁρῶσα ἑαυτὴν ἐν τῇ ἀνάγκῃ τοῦ ἀπολῦσαι τοὺς Βουλγάρους ἀσκεῖν τὰ τῆς θρησκείας αὐτῶν, καθὼς ἴσασι καὶ βούλονται, οὐκ ἄλλοις τὴν εὐθύνην τῶν συνεπειῶν καταλογιεῖται, ἢ τῷ Ῥωμαϊκῷ Πατριαρχείῳ· οὔτ' ἀκροάσεως αὐτὸ ἀξιώσει, ἑξῆς ποτὲ τυχὸν δεινολογησομένῳ καὶ προσκλαυσομένῳ περὶ ταραχῶν καὶ ἀκαταστασίας ἐν Βουλγάροις. Πρὸς ταῦτα δὲ τοῦ Ὑπουργοῦ θαῤῥούντως ἀντειποῦσιν ἡμῖν, ὑπόλογον χρῆναι νομίζειν οὐ τὸν

ἑδράζοντα τὰς ἀξιώσεις αὐτοῦ ἐπὶ τῶν κειμένων νόμων τῆς ἐν Χριστῷ καὶ τῆς κατὰ κόσμον πολιτείας, ἀλλὰ τὸν παραβάτην τούτων καὶ ἀθετητὴν καὶ τὸν ἀναρχίαν διδάσκοντα, ἡ Αὐτοῦ περίφρων Ὑψηλότης ὑπεκρούσατο κατὰ τὰς εἰσηγήσεις καὶ πληροφορίας τῶν Βουλγαριστῶν (οὐ γὰρ ἂν ἀδικοῖμεν τὴν Κυβέρνησιν), ὡς ἄρα τὸ Ῥωμαϊκὸν Πατριαρχεῖον, περιστὰν ἀπέναντι τετελεσμένου γεγονότος τῆς ἀπ' αὐτοῦ ἀποστασίας τῶν Βουλγάρων, σκέψασθαι ὀφείλει τοὐντεῦθεν οὐ τί πράξει, ἀλλὰ πῶς τὰ πεπραγμένα διευθετήσει ἐκκλησιαστικώτερον· ἐν τέλει δὲ ἠξίου ἐγγράφους πέμπειν τῇ Αὐτοῦ Ὑψηλότητι τάς τε ἐνστάσεις καὶ παρατηρήσεις ἡμῶν ἐπὶ τοῦ σχεδίου καὶ τοὺς κανόνας αὐτοὺς, ὅσοις περ ἀντιπίπτειν ἐδόκει ἡμῖν· ὃ δὴ καὶ γέγονε μετ' οὐ πολλὰς ἡμέρας. Τοιαῦτα τοίνυν λέξαντές τε καὶ ἀκούσαντες θυμαλγῆ μὲν τὰ πλείω, οὐ μὴν πάντως καὶ ἀπογνωστικὰ, τῷ δὲ Σωτῆρι Θεῷ τὰ τῆς Ἐκκλησίας αὐτοῦ πιστεύσαντες, ἀνεμένομεν μέσον δέους καὶ ἐλπίδος τῶν παρ' ἡμῶν ἐνστάσεων τὸ ἀποτέλεσμα.

ιβ′. Ἡμῶν δὲ ἡσύχως ἀναμενόντων, οὐχ ὁμοίως ἡσύχαζεν ἡ ἐν Μεσαχώρῳ βουλγαριστικὴ σπεῖρα, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ πάσῃ μηχανῇ πόλεμον ἤγειρον δεινὸν ἀνὰ πᾶσαν τὴν Θρᾴκην καὶ τὴν Μακεδονίαν κατά τε τῶν κανονικῶν ποιμένων καὶ ἱερέων καὶ τῶν χριςιανῶν ἐκείνων, ὅσοι, εἰ καὶ Βούλγαροι ἢ βουλγαρόφωνοι, οὐκ ἤθελον ὅμως ἀποσχισθῆναι τῆς Μεγάλης Ἐκκλησίας καὶ ὑποκύψαι τῷ βουλγαρικῷ Ἐξάρχῳ· ὃ δὲ σχέτλιον, καὶ γὰρ τὴν αὐτοκρατορικὴν Κυβέρνησιν ἔπειθον δικαιοῦν τὴν ἀπὸ τοῦ Πατριάρχου ἀποσκίρτησιν πάντων τῶν ἀεὶ προθυμησομένων καταταγῆναι ὑπὸ τὴν αἰγίδα τοῦ Βουλγαρισμοῦ· οὗ δὴ καὶ ἐπέτυχον ἀντὶ τοῦ θεσπεσίου ὅρου τῆς ἐν ἁγ. Πνεύματι θεοφρόνως φθεγξομένης Οἰκουμενικῆς Συνόδου, ἀποχρῆν ἡγούμενοι οἱονδήποτε καισαρικὸν φιρμάνιον, ᾧ καὶ τὴν ὕλην καὶ τὸ εἶδος οὐχ ἕτερος, ἀλλ' αὐτοὶ πάντως οἱ τοῦ Βουλγαρισμοῦ ταξίαρχοι ἐξυπούργησαν.

ιγ′. Τῇ γὰρ ἐσχάτῃ τοῦ Φεβρουρίου μηνὸς τοῦ ἐνεστῶτος ἔτους πάλιν οἱ αὐτοὶ δύω λαϊκοὶ, οἱ προκομίσαντες ἐκεῖνο τὸ σχέδιον, κατελθόντες εἰς τὰ Πατριαρχεῖα, ὑψηλὸν ἐν μεμβράνῃ ἐκόμιζον θέσπισμα (φιρμάνιον), ἐν μὲν ἄρθροις ἕνδεκα τὰ τῆς Βουλγαρικῆς Ἐξαρχίας διοργανοῦν καὶ διαῤῥυθμίζον, διαῤῥήδην δὲ σημαῖνον κεκυρῶσθαι τ' ἄρθρα ταῦτα καὶ αὐτογράφῳ αὐτοκρατορικῷ προστάγματι (ἀριθ. **12**). Τὸ θέσπισμα τοῦτο, ἅτε τῆς ἡμῶν Μετριότητος νόσῳ τρυχομένης, τοῖς περὶ ἡμᾶς

SISMANOGLIO



Συνοδικοῖς παρακαταθέντες οἱ κομισταὶ ἕως ἡμεῖς ἀναῤῥώσαιμεν, ἀνεχώρουν. Μόλις δὲ, ἡμερῶν εἴκοσι διελθουσῶν, γνόντες μὲν ἡμεῖς τὰ περὶ τοῦ ἐγγράφου τούτου, καὶ ὅτι αὐθημερὸν καὶ τοῖς Βουλγάροις ἐξεδέδοτο, τὴν δὲ οὐσίαν αὐτοῦ ἐνεωρακότες ἄλλην ἐνοῦσαν, ἢ ἣν ἡμεῖς πολλῇ χρησάμενοι τῇ συγκαταβάσει ὑπεδείκνυμεν ἐν τῷ καθ' ἡμᾶς σχεδίῳ, καὶ τὸν ἀγῶνα ἡμῖν ἐνεστηκότα οὐ περὶ σμικρῶν τινων καὶ οὐδενοσώρων, ἀλλὰ περὶ ἀθετήσεως ἱερῶν κανόνων καὶ περὶ καταπατήσεως καὶ παραγραφῆς τῶν τοῦ ἁγιωτάτου Πατριαρχικοῦ τούτου Θρόνου ἀρχαίων προνομιῶν, καί περ τοῦ σώματος μαλακώτερον διακείμενοι, ὅτι τάχος τὴν περὶ ἡμᾶς συνήγομεν Σύνοδον ἐπὶ τῷ βουλεύσασθαι ὅ,τι καὶ ἀποκρινούμεθα τῷ ὑψηλοτάτῳ Πρωθυπουργῷ.

ιδ′. Τῇ οὖν ἱερᾷ Συνόδῳ ἐκτάκτως ἐπὶ τούτῳ συναθροισθείσῃ (τῇ κά Μαρτίου ᾳωό.) μετὰ ὥριμον σύσκεψιν ἅπασιν ἐδόκει ἀποκρίνασθαι τῷ Μεγάλῳ Βεζύρῃ μεθ' ὅσης ἐκκλησιαστικῆς παῤῥησίας, τοσαύτης καὶ κοσμιότητος, ἥτις ἐμπρέπει τοῖς ὑπηκόοις, τὰ ἐν τῷ ὑπ' ἀριθ. **13** ἐπισυνημμένῳ ἐγγράφῳ.

ιέ. Ἐπεὶ δὲ ἥ τε κοινοποίησις τοῦ φιρμανίου καὶ τὸ πλέον αἱ παρὰ τῶν Βουλγαριστῶν ἐγκύκλιοι (Ἀριθ. **14**). καὶ μὲν δὴ καὶ αἱ παρὰ τῆς Ἐκκλησίας ὑπεναντίαι τούτοις ἀποκρίσεις καὶ αἱ ἐντεῦθεν ποικιλίαι καὶ ἀντιφατικαὶ φῆμαι οὕτω κατετάραττον τὰς ἐπαρχίας καὶ συνέκρουον τοὺς ἐν αὐταῖς παμμιγεῖς κατοίκους, ὥστε πανταχόθεν ἀφικνεῖσθαι παντοίας διαμαρτυρήσεις καὶ ἐπερωτήσεις πρὸς τὴν Ἐκκλησίαν, τοῦτον τὸν θροῦν καὶ τὴν σύγχυσιν διαλευκαίνοντες ἡμεῖς, τὰ δὲ φιλόχριστα ποίμνια ςηρίζοντές τε καὶ ἀδελφοποιοῦντες ἐν ἀληθείᾳ, ἐκκλησιαστικὴν ἐκδεδώκαμεν Ἐγκύκλιον (τῇ β′ Ἀπριλ. ᾳωό), ἐν ᾗ ἀνακεφαλαιοῦντες τὰ προγεγονότα ἐν συνόψει καὶ δικαιοῦντες, ὅσον ἐνῆν, τὴν προνοητικὴν καὶ διαλλακτικὴν τῶν κυβερνώντων διάθεσιν, οὐκ ἀποκρύπτοντες δὲ οὐδὲ τὸ ὑγιαῖνον καὶ γνήσιον φρόνημα τῆς Ἐκκλησίας, προὐλέγομεν σαφῶς λυθήσεσθαι τὸ ζήτημα ὑπὸ τῆς Ἐκκλησίας αὐτῆς, ἢ τῆς ἐνταῦθα μόνης ἢ τῆς καθόλου, ἥκιστα δὲ διὰ πολιτικοῦ φιρμανίου (Ἀριθ. **15**). Ἡ δὲ Αὐτοῦ Ὑψηλότης τὰ παρ' ἡμῶν περὶ τοῦ φιρμανίου κομισάμενος, πενθήμερον ἐπισχὼν, πέμπει ἡμῖν (τῇ κή μαρτίου ᾳωό.) τὴν ἐπισυνημμένην ἀπάντησιν (Ἀριθ. **16**).

ις′. Ἡμῖν δὲ τοιοῦτο κομισαμένοις ἀποκριτήριον γράμμα παρὰ τοῦ Μεγάλου Βεζύρου, καὶ τὸ σιγῆσαι δεινὸν ἐδόκει καὶ πολλῆς ζημίας πα-

ραίτιον ἐν ἀνθρώποις ἐξ ἐπιπολῆς καὶ πόῤῥωθεν τὰ καθ' ἡμᾶς πληροφορουμένοις, καὶ τὸ ἀποκρίνασθαι οὔτε πάνυ ῥᾴδιον οὐθ' ἡδύ· ὁμοίως γὰρ χαλεπὸν τὴν ἀκρίβειαν πᾶσαν ἐξειπεῖν τῶν θείων δογμάτων καὶ τῶν ἱερῶν κανόνων ἑτεροθρήσκῳ Ὑπουργῷ, καὶ ἐξειπόντα νοηθῆναι, ὅτε καὶ αὐτοὶ οἱ καυχώμενοι ποιμένες τοῦ Βουλγαρισμοῦ, καὶ τῇ ὀρθοδοξίᾳ ἐγγεγηρακότες, ἀκμὴν βραδεῖς ἐξελέγχονται τῇ καρδίᾳ τοῦ συνιέναι τὰ τῶν πατέρων αἰώνια καὶ θεοχάρακτα ὅρια. Ἐπεὶ δ' ὅμως πάντως ἔδει ἀποκρίνασθαι, ἀπηντήθη τῇ Α. Ὑψηλότητι (τῇ ζ' Ἀπριλ. ͵αωό. διὰ τοῦ ὑπ' ἀριθ. **17** ἐγγράφου) οὐδὲν ἔξω τοῦ νομίμου καὶ εὐπρεποῦς, ὡς οἰόμεθα.

ιζ'. Τοιαῦτα ἡμῶν ἀποκριναμένων, ἡ μὲν Ὑψηλὴ Κυβέρνησις παντελῶς σεσίγηκεν· ἡ δὲ ἐν Μεσαχώρῳ βουλγαριστικὴ φατρία, πάσῃ μηχανῇ τὸ ὑψηλὸν φιρμάνιον ἐφαρμόσασθαι πειρώμενοι καὶ βέβαιοι ἤδη περὶ τῶν τροπαίων, οὐδένα χρόνον ἢ τρόπον παραλελοίπασιν· ἀλλὰ πλὴν τῶν ἐπαρχιακῶν θορύβων καὶ συγκρούσεων ἐπιτροπὴν μὲν ἐθνικὴν καὶ συντακτικὴν ἐν αὐτῇ τῇ τοῦ Κωνσταντίνου πόλει προσκαλεσάμενοι συνέστησαν ἀπό τε λαϊκῶν καὶ κληρικῶν, ἥτις ἴδιον αὐτοῖς συντάξει κανονισμὸν τῶν κατ' αὐτοὺς ἐθνικῶν καὶ ἐκκλησιαστικῶν πραγμάτων, (ἤδη δὲ καὶ συντέτακται)· παρὰ δὲ τὴν μίαν νόμιμον καὶ κανονικὴν, ἄλλην ἀντισύνοδον ἔκ τε καθῃρημένων καὶ ἐξ ἀποστατῶν Ἐπισκόπων συγκροτήσαντες, γράμματα ἐξεδίδοσαν ἐκκλησιαστικὰ, δι' ὧν τὰς ἐπαρχίας ἐτάραττον, καὶ τοὺς ἀληθεῖς ποιμένας ἐδίωκον καὶ ἐκάκουν· ὅ δε χεῖρον, δύω ἀρχιερεῖς, τὸν Σοφίας καὶ τὸν Νυσσάβας, εἰς ἐπαρχίας οὐκ ἀνηκούσας αὐτοῖς καὶ ἄλλους κληρικοὺς πανταχόσε ἐξέπεμπον ἐπὶ τῷ διδάξαι (ἔλεγον) τοὺς λαοὺς τὴν ἀλήθειαν, καὶ ὅσας δύναιντο πλείους ὑπογραφὰς ὑπὲρ τῆς βουλγαρικῆς Ἐκκλησίας παρὰ χριστιανῶν ἁπλοϊκῶν δόλῳ συναγαγεῖν· τὸ δὲ παραδοξότερον οὐκ ὤκνησαν καὶ ὡς ἡμᾶς ἐξαποστεῖλαι τέτταρα τῶν τῆς Ἐπιτροπῆς ταύτης μελῶν, ἐξαιτησόμενα τὴν πατριαρχικὴν ἡμῶν ἐπικύρωσιν καὶ εὐλογίαν ἐπὶ τοῦ τετελεσμένου ἤδη καὶ φιρμανίῳ βασιλικῷ κεκυρωμένου ἱεροῦ αὐτῶν ἔργου!

ιη'. Τοιγαροῦν, ἐπειδή περ ἡμεῖς τε καὶ ἡ περὶ ἡμᾶς ἁγία Σύνοδος μέσην συνετιτρωσκόμεθα τὴν καρδίαν, τὰ τ' ἐνθάδε δρώμενα καθορῶντες καὶ τὸν ἀεὶ ῥαγδαιότερον καὶ συστηματικώτερον ἐν ταῖς ἐπαρχίαις ἐπιτεινόμενον πόλεμον πληροφορούμενοι ἀπὸ γραμμάτων συχνῶν τῶν τε ἱερωτάτων Μητροπολιτῶν, τῶν εὐλαβεσ. ἱερέων καὶ λοιπῶν εὐσεβοφρόνων καὶ συνετῶν λαϊκῶν, δεινῶς ἀπολοφυρομένων ὁπόσα καὶ ὑφίστανται δεινὰ ὑπὸ



τῶν ἀνατροπέων τῶν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ἱερῶν καὶ πατροπαραδότων καθεστώτων, οὐκ ἀνασχετὸν ἡγησάμεθα ἐπὶ πλέον μένειν ἐπὶ τῆς Πατριαρχικῆς Καθέδρας, ἀδυνάτως ἔχοντες αὐτῇ ἐπαμῦναι ἀδικουμένῃ. Διὸ δὴ τῇ ἐννεακαιδεκάτῃ τοῦ Αὐγούστου μηνὸς τοῦ ἐνεστῶτος ἔτους Σύνοδον ἔκτακτον συγκαλεσαμένοις ἔκ τε τῶν μελῶν τῆς Ἱ. Συνόδου καὶ ἐξ ἄλλων παρεπιδημούντων ἱερωτάτων Μητροπολιτῶν, καὶ κοινῇ συντόνως σκεψαμένοις ἐδόκει πᾶσιν ὁμοφώνῳ γνώμῃ ἐγγράφως ἀνενεχθῆναι τῇ ὑψηλῇ αὐτοκρατορικῇ Κυβερνήσει, καὶ διαῤῥήδην δεηθῆναι ἤτοι κατανεῦσαι εἰς τὴν τῆς Οἰκουμεν. Συνόδου συγκρότησιν, ἢ πάντως δέξασθαι τὴν ἀπὸ τῆς Πατριαρχείας παραίτησιν τῆς ἡμῶν Μετριότητος· καὶ γὰρ ὅλως ἐναντίαν ἡγούμεθα τὴν περαιτέρω διαμονὴν ἡμῶν ἐπὶ τοῦ ἁγιωτάτου Θρόνου τῇ τε συνειδήσει καὶ τῷ πατριαρχικῷ ἡμῶν καθήκοντι. Ἔνθεν τοι τῇ κ'. Αὐγούστου πεπόμφαμεν τῷ ὑψ. Πρωθυπουργῷ τὸ ὑπ' ἀριθ. **18** ἡμέτερον ἔγγραφον· μετὰ δέ τινας ἡμέρας καὶ οἱ Συνοδικοὶ αὐτοὶ ἴδιον πεπόμφασι τῇ Αὐτοῦ Ὑψηλότητι ἔγγραφον, δεόμενοι Αὐτῆς εὐδοκῆσαι τὸ λοιπὸν διορθώσασθαι τὴν τηλικαύτην ἐκκλησιαστικὴν ἀνταρσίαν, καὶ οὕτως ἀνελεῖν πάσας τὰς δικαίας ἀφορμὰς τῆς τοῦ Πατριάρχου παραιτήσεως (Ἀριθ. **19**). Τῆς δὲ Αὐτοῦ Ὑψηλότητος μετὰ μικρὸν πρὸς ἀμφότερα τὰ ἔγγραφα εὐγενῶς μὲν πάνυ, ἀλλ' οὐ κατ' εὐχὴν ἀποκριναμένης (Ἀριθ. **20**), ἡμεῖς τὸ τοιοῦτον ἀποκριτήριον κομισάμενοι, καὶ κατὰ τὸ εἰκὸς σὺν τῇ περὶ ἡμᾶς Συνόδῳ σκεψάμενοι, δεῖν ἔγνωμεν γράψαι καὶ πάλιν, παραπλήσια λέγοντες περὶ τῆς ἀνάγκης τῆς συγκροτήσεως Οἰκουμενικῆς Συνόδου καὶ τῆς ἀπὸ τοῦ Θρόνου ἀναγκαίας καταστάσης ἀποχωρήσεως ἡμῶν πρὸς τὸ ἀπαλλαγῆναι βαρυτάτης εὐθύνης. Ἐπεὶ δὲ ἡ Α. Ὑψηλότης σαφῶς διεβεβαιοῦτο ἐν τῇ πρὸς ἡμᾶς ἀποκρίσει, ὅτι διορθώσεται καὶ ἐξαλείψει πᾶσαν αὐτῷ καταγγελθησομένην τῶν Βουλγαριστῶν ἀταξίαν καὶ κατάχρησιν, τούτου χάριν, ἵνα μὴ δοκοῖμεν οὐ τὴν εἰρήνην καὶ τὴν διαλλαγὴν, ἀλλὰ τὴν ἔριν διώκειν καὶ τὴν διχόνοιαν, συναπηριθμήσαμεν ἐν τῇ παρ' ἡμῶν ἀπαντήσει συνοπτικῶς ἔνια, τὰ καιριώτατα, τῶν πολλῶν σκανδάλων, περὶ ὧν πολλάκις καὶ διὰ μακρῶν εἰς δεῦρο πρὸς Αὐτὴν ἀνηνέχθημεν, ἐξαιτούμενοι τὴν τούτων διόρθωσιν (ἀριθ. **21**).

ιθ'. Τοιαῦτα μὲν, ὦ σεβάσμιε καὶ περιπόθητε ἡμῖν ἐν Χριστῷ ἀδελφὲ, τοιαῦτα καὶ παραπλήσια τὰ ἐκ τῆς Βουλγαρικῆς ἀνταρσίας καὶ ἀπονοίας ἐλεεινὰ καὶ θρήνων ἄξια δράματα· τοιαῦτα δὲ, ὡς ἔπος εἰπεῖν, καὶ τὰ παρὰ

τῆς τοῦ Χριςοῦ Μεγάλης Ἐκκλησίας, ἀκραιφνῶς λογικὰ (ὡς ἡμῖν δοκεῖ) καὶ κανονικὰ παλαίσματα τῆς ἀπαραιτήτου ἀμύνης πρὸς ἀνθρώπους, μόρφωσιν ἔχειν λέγοντας εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνῆσθαι ἐοικότας ἀπό γε τῶν ἔργων. Ἐπεὶ δὲ πάντα τοῖς πᾶσι κατάδηλα γέγονε, τά τε παρ' ἡμῶν καὶ τὰ παρὰ τῶν τῆς ἐκκλησιαστικῆς εὐνομίας ἀνατροπέων τούτων Βουλγαριςῶν, διὰ ταῦτα, ὃν τρόπον πάσας τὰς ἐν τῇ πίςει ὁμοδόξους καὶ ἀδελφὰς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ σύμπαντας τοὺς σεβασμίους τῆς Ὀρθοδοξίας Ἱεράρχας καὶ ἀκρέμονας, οὕτω καὶ τὴν ὑμετέραν θεσπεσίαν Κορυφὴν ἀξιοῦμεν καὶ παρακαλοῦμεν ἀδελφικῶς θεόφρονι βουλῇ καὶ γνώμῃ ἐθελῆσαι ὅλην αὐτῆς συνεπιστῆσαι τὴν διάνοιαν τοῖς τε ἄλλοις τοῖς τῷ μετὰ χεῖρας τῷδ' ἐπιστολιμαίῳ ὑπομνήματι ἐπισυνημμένοις γράμμασιν, ὅσα φωρᾷ καὶ κατελέγχει τὸ ἀντικανονικὸν καὶ τῆς Ὀρθοδοξίας ἀνατρεπτικὸν πνεῦμα τοῦ Βουλγαρισμοῦ, καὶ μάλιστ' αὐτῶν αὐτοῖς τοῖς ἐν τῷ φιρμανίῳ ἄρθροις, περὶ ὧν οὐδὲ ἡμεῖς ἀπεκρυψάμεθα, ὅπως γνώμης ἐσχήκαμεν· δηλῶσαί τε ἡμῖν καὶ πάλιν ἅττ' ἂν ὑμῖν δόξῃ, σὺν Θεῷ φωτίζοντι, περὶ τοῦ παντὸς πράγματος, εἰ ἄρα τ' ἀληθῆ καὶ δίκαια τυγχάνομεν διανοούμενοί τε καὶ λέγοντες, καὶ εἰ τῷ πνεύματι στοιχοῦμεν τοῦ Εὐαγγελίου καὶ τῶν πανσέπτων Οἰκουμενικῶν Συνόδων, τῶν σαλπίγγων καὶ πυξίων τούτων τοῦ παναγίου Πνεύματος.

Τὸν δὲ περὶ τούτων λόγον σφραγίζοντες ἕως τύχωμεν τῆς ὑμετέρας, ἧς ἀπεκδεχόμεθ' ἀδελφικῆς ἀποκρίσεως, ἐκεῖνο ἐπιπροστιθέμεθα τὸ ἀκροτελεύτιον, ὅτι Ἡσαΐας μὲν τῶν θείων Προφητῶν ὁ μεγαλοφωνότατος περὶ τῶν τοιούτων ἰδιοτελῶν πρακτόρων καὶ δημεγερτῶν, οἳ διὰ χρηςολόγου εὐλογίας καὶ διὰ πάσης μεθοδείας ὑποσκελίζειν καὶ ἐξαπατᾷν εἰώθασι καρδίας ἀκάκους, μακαρίζειν τε τοὺς λαοὺς καὶ πλανᾷν αὐτοὺς καὶ τὰς τρίβους τῶν ποδῶν αὐτῶν ἐκταράσσειν, ὡς ἂν ῥᾷον κατακυριεύσαντες αὐτῶν, ἀδεῶς τὸ λοιπὸν καλαμῶνται καὶ ἀφειδῶς τρυγῶσιν αὐτούς, ἐν πνεύματι προφητικῷ προλέγει, ὅτι « αὐτὸς ὁ Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ » (γ'. 12—14). Ὁ δὲ Κύριος ἔφησεν· « Οὐαὶ τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. » (Ματθ. ιή. 6). Ἀλλ' ἡμεῖς, τῆς ἀνθρωπείας φύσεως τὸ εὐόλισθον καὶ εὐδιόρθωτον καὶ τῆς θείας εὐσπλαγχνίας τὸ πέλαγος εὖ μάλ' εἰδότες, εὐχόμεθα τῷ Πατρὶ τῶν φώτων καὶ μεγάλῳ τοῦ παντὸς εἰρηνάρχῃ, τῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ κηρύξαντι μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, εὐχόμεθα ἐν κατανύξει ψυχῆς μὴ ςῆ-



σαι τούτοις τοῖς πειραζομένοις καὶ ἀκμὴν πειράζουσι τὴν Ἐκκλησίαν ἀδελφοῖς Βουλγάροις τὰς τηλικαύτας ἀνομίας, τὰς διχοστασίας καὶ τὰ σκάνδαλα· ἀλλ' ἐκείνοις μὲν μετάνοιαν εἰλικρινῆ καὶ ταχινὴν καὶ τὸν θεῖον φόβον τὰς καρδίας αὐτῶν μαλάσσοντα ἐν ἀγάπῃ καὶ ἁγιασμῷ δωρησάμενος, τὸν δὲ κακομήχανον καὶ σκότιον τῶν ζιζανίων σπορέα ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει συντρίψας, σώζοι ἅπασαν τὴν χριστοφόρον ἐκλογάδα τῆς εὐσεβείας, ποιμαίνοντάς τε καὶ ποιμαινομένους, ἀπὸ τῶν ἐρίδων καὶ τῶν σκανδάλων τοῦ πονηροῦ· ἐν δὲ τῷ μέλλοντι αἰῶνι καταξιοῖ τῆς αἰωνίου αὐτοῦ δόξης καὶ βασιλείας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, παρ' οὗ καὶ τὰ σεβάσμια καὶ πολύτιμα ἔτη τῆς ὑμετέρας θεοφρουρήτου καὶ λίαν ἡμῖν περισπουδάστου Μακαριότητος γίγνοιτο Αὐτῇ μὲν πάνολβα καὶ ὑγιεινά, πᾶσι δὲ τοῖς ὑπ' αὐτῆς ποιμαινομένοις ἀποςολικῶς θυμήρους καὶ θεοφιλοῦς εἰρήνης πάροχα, φωταγωγά τε καὶ σωτήρια. Ἀμήν.

*αωό σεπτεμβρίου λ'.*

*Τῆς ὑμετέρας λίαν ἡμῖν περισπουδάστου καὶ σεβασμίας Κορυφῆς*

*ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοὶ*

*καὶ ὅλως πρόθυμοι*

**† Ο ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΓΡΗΓΟΡΙΟΣ.**

† Ὁ Ἡρακλείας ΠΑΝΑΡΕΤΟΣ.
† Ὁ Κυζίκου ΝΙΚΟΔΗΜΟΣ.
† Ὁ Νικομηδείας ΔΙΟΝΥΣΙΟΣ.
† Ὁ Νικαίας ΙΩΑΝΝΙΚΙΟΣ.
† Ὁ Χαλκηδόνος ΓΕΡΑΣΙΜΟΣ.
† Ὁ Δέρκων ΝΕΟΦΥΤΟΣ.
† Ὁ Τορνόβου ΓΡΗΓΟΡΙΟΣ.
† Ὁ Λαρίσσης ΔΩΡΟΘΕΟΣ.
† Ὁ Δράμας ΑΓΑΘΑΓΓΕΛΟΣ.
† Ὁ Σωζοαγαθουπόλεως ΠΡΟΚΟΠΙΟΣ.
† Ὁ Νύσσης ΚΑΛΛΙΝΙΚΟΣ.
† Ὁ Γρεβενῶν ΓΕΝΝΑΔΙΟΣ.

# ΤΑ ΕΠΙΣΥΝΗΜΜΕΝΑ ΕΓΓΡΑΦΑ.

## (Ἀριθ. 1.)

## Ἐγκύκλιος τῶν Βουλγάρων Ἀντιπροσώπων.

Ἔντιμοι Ὁμογενεῖς.

Τὴν παρελθοῦσαν ἑβδομάδα ἐςείλαμεν πρὸς ὑμᾶς τὰ σχέδια τῆς Κυβερνήσεως περὶ τῆς λύσεως τοῦ Ἐκκλησιαστικοῦ ἡμῶν ζητήματος, ἐκ τῶν ὁποίων κατενοήσατε, ὅτι ἐκεῖνο, τὸ ὁποῖον ἐπεριμένομεν ἀπὸ τὸ βασιλικὸν ἔλεος, ἐδωρήθη εἰς ἡμᾶς, ὅτι ἡ διάπυρος ἐπιθυμία ἡμῶν τοῦ νὰ ἔχωμεν δίκαιον ἀμέσως, νὰ δεώμεθα τοῦ θεοῦ ἀμέσως, νὰ παρουσιαζώμεθα ἐνώπιον τοῦ Βασιλέως καὶ Αὐθέντου ἡμῶν, ὅτι ἡ φλογερὰ ἐκείνη ἐπιθυμία τοῦ νὰ εἴμεθα ἐλεύθεροι εἰς τὰ τῆς συνειδήσεως, τοῦ νὰ μὴ παρεισάγηται ἐν ταῖς οἰκίαις ἡμῶν ὑπὸ τὸ πρόσχημα τῆς θρησκείας ἀλλοεθνὴς κλῆρος, ὅστις οὐδέποτε ἔτρεφε φιλικὰ πρὸς ἡμᾶς αἰσθήματα· ἡ ἐπιθυμία ἡμῶν αὕτη ἐξεπληρώθη, δόξα τῷ Θεῷ, πληρέστατα. Ἐπειδὴ δὲ τὸ καθῆκον τῆς εὐγνωμοσύνης εἶναι ἐκ τῶν πρωτίστων τοῦ ἀνθρώπου, καθότι τὸ τοιοῦτον αἴσθημα χαρακτηρίζει τὴν εὐγένειαν καὶ τὴν φιλοτιμίαν ἑνὸς ἔθνους, καὶ διότι ἀφ᾽ ἑτέρου πρὸς αὐτὸ μόνον ἀποβλέπουσι καὶ δι᾽ αὐτοῦ μόνον ἱκανοποιοῦνται οἱ γενναιόψυχοι εὐεργέται, ἡμεῖς, φίλτατοι ὁμογενεῖς, ὀφείλομεν, ἀφοῦ συνέλθωμεν ἀπὸ τὸν μέγαν ἐνθουσιασμὸν καὶ τὴν ἀνεκλάλητον χαράν, ἥτις συνεκίνησε τὰς καρδίας ἡμῶν διὰ τῆς καλῆς ἀγγελίας περὶ τῆς ἐκκλησιαστικῆς ἡμῶν ἀπελευθερώσεως διὰ τοῦ Κραταιοτάτου ἡμῶν Ἄνακτος καὶ Αὐθέντου, ὀφείλομεν νὰ ὑποβάλωμεν ὑπὸ τὸ ὑποπόδιον τοῦ περιφανοῦς αὐτοῦ θρόνου τὴν ἄκραν ἡμῶν ἀφοσίωσιν καὶ τὴν βαθεῖαν ἡμῶν

εὐγνωμοσύνην περὶ τοῦ ἀνεκτιμήτου δικαιώματος, τὸ ὁποῖον ηὐδόκησε καὶ ἐδωρήθη ἡμῖν. Εἶνε ἀληθὲς, ὅτι τὸ χρέος ἡμῶν τοῦτο πρὸς τὴν Α. Μεγαλειότητα διὰ λόγου δὲν δύναται νὰ ἐκφρασθῇ. Εἶναι ἀληθὲς, ὅτι τοῦτο καλλιεπέστερον ἐκφράζεται διὰ τῆς διπλασιάσεως τῆς πίστεως καὶ ἀφοσιώσεως ἡμῶν πρὸς αὐτὸν, τὴν δὲ πίστιν καὶ ἀφοσίωσιν ἡμῶν ταύτην θέλομεν καταστήσει ἐκφαντικωτέραν διὰ τοῦ πολλαπλασιασμοῦ τῆς ἐπιμελείας ἡμῶν πρὸς τὴν παιδείαν, πρὸς τὴν γεωργίαν, τὴν βιομηχανίαν καὶ εἰς πᾶσαν οἱανδήποτε ἐπιχείρησιν, καὶ διὰ τῆς καλῆς ἀνατροφῆς, τὴν ὁποίαν χρεωστοῦμεν νὰ δώσωμεν εἰς τὰ τέκνα ἡμῶν, ὅπως ὦσιν αὐτὰ διπλασίως εὐγνώμονα καὶ ἀφωσιωμένα. Ἐπειδὴ αὐτὰ πρῶτα θέλουσιν ἀπολαύσει τοὺς καρποὺς τῆς ἐλευθερίας ταύτης, τὴν ὁποίαν εὐτυχήσαμεν ἵνα ἴδωμεν ἐπὶ τῶν ἡμερῶν ἡμῶν νὰ δωρηθῇ εἰς ἡμᾶς.

Διὰ ταῦτα προσκαλοῦμεν ὑμᾶς ἵνα συντάξητε εὐχαριστήριον ἀναφορὰν (τεσεκιουρναμὲ) πρὸς τὴν Α. Α. Μεγαλειότητα τὸν εὐσπλαγχνικώτατον ἡμῶν Σουλτάνον καὶ Αὐθέντην, διὰ τοῦ ὁποίου θὰ ἐκφράσητε τὰ αἰσθήματα ὑμῶν ἐπὶ τὰ τῆς ἀναγνωρίσεως τῆς νέας ἐκκλησίας ἡμῶν καὶ τῆς ἐθνικότητος ἡμῶν.

Ἡ εὐχαριστήριος αὕτη ἀναφορὰ νὰ γίνῃ εἰς τουρκικὴν γλῶσσαν, διότι καὶ εὐκολώτερον θὰ εὕρητε ἄξιόν τινα κιατίπην ἵνα συντάξῃ αὐτὴν, καὶ ἐντιμότερον εἶναι, ἵνα διὰ τῆς ἐπισήμου γλώσσης ἐκφράσητε τὰ αἰσθήματα ὑμῶν.

Ἐπὶ τέλους ἐνθυμίζομεν εἰς ὑμᾶς μετὰ χαρᾶς, ὅτι πρέπει ἐν μιᾷ ἡμέρᾳ νὰ ψάλωμεν δοξολογίαν πρὸς τὸν Ὕψιστον, τοιαύτην δὲ ἡμέραν ἐξελέξαμεν τὴν ἑορτὴν τοῦ ἁγίου Νικολάου, ὅπως δυνηθῶσιν ἁπανταχοῦ τῆς πατρίδος ἡμῶν ἵνα ἑτοιμασθῶσιν εἰς τοῦτο. Ἂς ἱκετεύσωμεν θερμῶς τὸν Κύριον κατὰ τὴν ἡμέραν ἐκείνην, ὅπως εὐλογήσῃ τὴν αὐτοκέφαλον ἡμῶν Ἐκκλησίαν στερεὰν καὶ ἀνθίζουσαν, τὴν ἡμετέραν νέαν ζωὴν προοδευτικὴν εἰς τὴν παιδείαν, εἰς τὰς ἐπιχειρήσεις καὶ εἰς πᾶν ἀγαθὸν, τὸν δὲ Βασιλέα καὶ Αὐθέντην ἡμῶν μακροημερεύοντα καὶ γαλήνιον, καὶ τὸν θρόνον αὐτοῦ ἔνδοξον.

Ἔχομεν τὴν τιμὴν ὅπως ὦμεν τῆς ὑμετέρας ἐντιμότητος

1868 *Νοεμβρίου 5 Κωνσταντινούπολις.*

*Ἐν Χριστῷ πατέρες καὶ εἰλικρινεῖς φίλοι.*

† Ὁ Φιλιππουπόλεως ΠΑΝΑΡΕΤΟΣ ἐν Χριστῷ εὐχέτης.

† Ὁ Φιλιππουπόλεως ΠΑΪΣΙΟΣ ἐν Χριστῷ εὐχέτης.

† Ὁ Μακαριουπόλεως ΙΛΑΡΙΩΝ ἐν Χριστῷ εὐχέτης.

| | |
|---|---|
| Ν. Δ. ΜΙΝΤΖΟΓΛΟΥ | Δ. Σ. ΤΖΟΜΑΚΩΦ |
| Χ. Π. ΔΑΨΙΛΕΣΤΩΦ | ΖΑΧΑΡΙΑΣ Χ. ΓΙΟΥΡΩΦ |
| ΜΙΧΑΗΛΟΒΣΚΗΣ Δ. | Χ. ΙΩΑΝΝΗΣ Χ. Β. ΠΕΝΤΖΚΟΒΙΤΖ |
| Γ. Ε' ΤΖΑΛΟΓΛΟΥ | ΖΑΧΑΡΙΑΣ ΣΤΡΟΥΜΣΚΗΣ. |
| Δ. Μ. ΓΙΕΣΟΓΛΟΥΣ | |



## (Ἀριθ. 2.)

## Ἐγκύκλιος τῆς Ἐκκλησίας πρὸς τοὺς Ἀρχιερεῖς τοῦ Θρόνου.

### ΓΡΗΓΟΡΙΟΣ ΕΛΕΩ ΘΕΟΥ κλτ.

Ἐγνώσθη βεβαίως καὶ τῇ αὐτῆς Ἱερότητι, ὅτι προλαβόντως σταλέντων παρὰ τῆς Ὑψ. Πύλης εἰς τὰ Πατριαρχεῖα δύο Σχεδίων, ἀφορώντων μὲν τὸ Βουλγαρικὸν ζήτημα, ἀνατιθεμένων δὲ διὰ τοῦ συνοδεύοντος αὐτὰ ὑψηλοῦ πρὸς ἡμᾶς Τεσκερὲ εἰς τὴν ἐλευθέραν ἔγκρισιν τῆς Ἐκκλησίας, τὴν παραδοχὴν θατέρου αὐτῶν, ἢ τὴν ἐκ μέρους αὐτῆς ὑπόδειξιν ἑτέρου μέτρου πρὸς ἐπίτευξιν τῆς λύσεως τοῦ ζητήματος, ἡ Ἐκκλησία μελετήσασα καὶ κατιδοῦσα τὰ σχέδια ταῦτα ὅλως ἐναντία τοῖς Ἱεροῖς Κανόσιν, ἀπήντησεν ἀρνητικῶς πρὸς τὴν Ὑψ. Πύλην, συντάξασα ἅμα καὶ ἐμφανίσασα καὶ κανονικὴν ἀνασκευὴν αὐτῶν, καὶ ἐπὶ τούτοις παραστήσασα, ὅτι ὡς ἐκ τῆς ἐξακολουθούσης ἐπιμονῆς εἰς τὰς ἀντικανονικὰς αἰτήσεις τῶν Βουλγάρων, οὐ δύναται ἄλλως γενέσθαι ἡ λύσις τοῦ ἐν λόγῳ ζητήματος, εἰμὴ διὰ συγκαλέσεως καὶ ἀποφάσεως Οἰκουμενικῆς Συνόδου. Καὶ μέχρι μὲν τούτου προεχώρησαν τὰ τῆς ὑποθέσεως ταύτης, ὁμολογουμένου ὅτι ἡ Σεβαστὴ ἡμῶν Κυβέρνησις ἀπέσχετο πάντοτε πάσης ἐπεμβάσεως ἐν τοῖς καθαρῶς θρησκευτικοῖς ἡμῶν πράγμασι, καθὰ καὶ ἐπὶ τοῦ προκειμένου ῥητῶς ἐξεφράσθη ἐν τῷ πρὸς ἡμᾶς Ὑψηλῷ Τεσκερέ. Ἀλλ' ἐπειδὴ οὐκ οἴδαμεν ὅπως ἐκ μέρους τῶν ἐνταῦθα ἀντιπροσώπων λεγομένων ἢ ἄλλων Βουλγάρων διεφημίσθη καὶ ἐκηρύχθη, ὅτι δῆθεν ἔλαβε πέρας ἡ λύσις τοῦ Βουλγαρικοῦ ζητήματος ἐπὶ τῇ βάσει τῶν σταλέντων Σχεδίων, ἡ δὲ ψευδὴς αὕτη φήμη διαδοθεῖσα καὶ ἐν τοῖς ἔξω μέρεσιν, ὡς ἔγνωμεν, παρέσυρε τοὺς πολλοὺς ἵνα πιστεύσωσι τοῦτο ὡς ἀληθὲς γεγονὸς, καίτοι, ὡς ἔφημεν, ὑπάρχει πᾶν τοὐναντίον ἕνεκα τῶν κανονικῶν λόγων καὶ ἀποδείξεων, δι' ἃς τὰ εἰρημένα Σχέδια οὐ παρεδέχθησαν ὑπὸ τῆς Ἐκκλησίας· καὶ ἐπειδὴ ὡς ἐκ τῆς διαστροφῆς τῆς ἀληθείας προκύπτει συκοφαντία ἄντικρυς κατὰ τῆς Ὑψ. ἡμῶν Κυβερνήσεως, σεβασθείσης ἀείποτε τὴν διατήρησιν καὶ ἀκεραιότητα τῶν θρησκευτικῶν καὶ ἐκκλησιαστικῶν ἡμῶν πραγμάτων καὶ τῶν παρ' αὐτῆς ἐπικεχορηγημένων προνομίων τοῦ καθ' ἡμᾶς Πατριαρ-

χικοῦ Θρόνου, διὰ ταῦτα ἔγνωμεν ἐκδοῦναι τὴν παροῦσαν ἐγκύκλιον ἐκκλησιαστικὴν ἡμῶν ἐπιστολὴν, δι' ἧς πληροφοροῦντες διαβεβαιοῦμεν καὶ τῇ αὐτῆς Ἱερότητι τὸ ἀνυπόστατον τῶν διαδοθέντων ὡς πρὸς τὴν λύσιν τοῦ Βουλγαρικοῦ ζητήματος, καὶ ὅτι ἡ Ἐκκλησία ἀπεποιήθη τὴν παραδοχὴν τῶν παρὰ τῆς Ὑψ. Πύλης σταλέντων δύο Σχεδίων, ὡς ἀντικειμένων τοῖς Ἱεροῖς Κανόσιν, ἵνα μὴ μονομερῶς ἀλλὰ τῇ γνώμῃ τῆς καθόλου Ἐκκλησίας γένηται ἡ περὶ τοῦ σπουδαίου τούτου ἐκκλησιαστικοῦ ἀντικειμένου ἀπόφασις ἐν Οἰκουμενικῇ Συνόδῳ. Τούτου δὲ ἕνεκα ὑπάρχει ἐν φροντίδι, ἵνα, ὅσον οὔπω, διακοινώσῃ πρὸς πάσας τὰς ἁπανταχοῦ Ὀρθοδόξους Ἐκκλησίας τὸν σκοπὸν αὐτῆς διὰ συνοδικῶν γραμμάτων μετὰ τῆς ἀποστολῆς καὶ τῶν λαβόντων χώραν διαφόρων ἐγγράφων πρὸς ἑκάστην αὐτῶν, ἑτοίμως ἔχουσα παρακαλέσαι αὐτὰς ἀδελφικῶς εἰς συγκρότησιν Οἰκουμενικῆς Συνόδου, τῇ ἐπινεύσει τῆς Σεβαστῆς ἡμῶν Κυβερνήσεως. Ἐφ' ᾧ καὶ προτρεπόμεθα τὴν αὐτῆς Ἱερότητα, ὅπως μὴ μόνον αὐτὴ, ἔχουσα ἀκριβῆ γνῶσιν, ἐμμένῃ ἑδραία εἰς τὴν ἀλήθειαν ταύτην τῶν πραγμάτων συμφώνως τῷ πνεύματι τῆς Ἐκκλησίας, ἀπεκδεχομένη τὸ ἀποτέλεσμα τῆς μέχρι τοῦδε ἐνεργείας αὐτῆς, ἀλλὰ καὶ τοῖς χριστιανοῖς ἐπαρχιώταις αὐτῆς κοινοποιήσασα ταῦτα, διαφωτίσῃ αὐτοὺς, ἵνα μὴ ἐξαπατώμενοι ἀποπλανῶνται ἀπὸ ἀνυπάρκτων θρυλλημάτων, καθιστάμενοι ἀπερισκέπτως ὄργανα τῶν δι' ἰδίους σκοποὺς ἐπιζητούντων τὴν ἀνωμαλίαν τῶν πραγμάτων καὶ τὴν ταραχὴν τῶν χριστιανῶν. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς.

1868 *Δεκεμβρίου* 2.

† Ὁ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ἐν Χριςῷ ἀγαπητὸς ἀδελφός.

| | |
|---|---|
| † Ὁ Κυζίκου ΝΙΚΟΔΗΜΟΣ | † Ὁ Δέρκων ΝΕΟΦΥΤΟΣ |
| † Ὁ Διδυμοτείχου ΔΙΟΝΥΣΙΟΣ | † Ὁ Βεῤῥοίας ΣΩΦΡΟΝΙΟΣ |
| † Ὁ Δράμας ΑΓΑΘΑΓΓΕΛΟΣ | † Ὁ Φιλαδελφείας ΜΕΛΕΤΙΟΣ |
| † Ὁ Γάνου καὶ χώρας ΧΡΥΣΑΝΘΟΣ. | |



# ('Αριθ. 3.)

## Ἐγκύκλιος τῆς Ἐκκλησίας πρὸς τοὺς Ἀρχιερεῖς τοῦ Θρόνου.

### ΓΡΗΓΟΡΙΟΣ ΕΛΕΩ͂ ΘΕΟΥ κτλ.

Ἱερώτατε Μητροπολῖτα . . . . . ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ Συλλειτουργὲ τῆς ἡμῶν Μετριότητος Κὺρ . . . . . . καὶ τιμιώτατοι προεστῶτες καὶ πρόκριτοι τῆς Ἐπαρχίας ταύτης, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητὰ, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ. Μόλον ὅτι πρὸ ὀλίγου ἐκδόντες ἐγκυκλίους ἐκκλησιαςικὰς ἡμῶν ἐπιστολὰς πρὸς πάντας τοὺς ἐν Χριστῷ ἀδελφοὺς ἁγίους Ἀρχιερεῖς πρὸς ἀναίρεσιν τῶν ψευδῶς διαδοθέντων θρυλλημάτων περὶ λύσεως δῆθεν τοῦ Βουλγαρικοῦ ζητήματος, διεκοινώσαμεν αὐτοῖς ἐν περιλήψει τὴν ἔννοιαν τοῦ τε πρὸς τὴν Ἐκκλησίαν σταλέντος Ὑψηλοῦ Τεσκερὲ, τοῦ συνοδεύσαντος τὰ ἀφορῶντα τὸ ζήτημα τοῦτο δύο σχέδια, καθὼς καὶ τῆς ἐκ μέρους αὐτῆς ἀπαντήσεως μετὰ τῆς συνεπιδοθείσης κανονικῆς ἀνασκευῆς τῶν σχεδίων, καὶ διεφωτίσαμεν αὐτοὺς ἀπέναντι τῶν γενομένων παρεξηγήσεων, ὡς ἐξ ἐκείνης τῆς ἐπιστολῆς ἡμῶν ἔγνω καὶ ἡ αὐτῆς Ἀρχιερωσύνη· ἀλλ' ἐπειδὴ πρὸς εὐρυτέραν γνῶσιν τῶν ἁπάντων καὶ βεβαίαν πληροφορίαν ἐπὶ τῆς σπουδαίας ἐκκλησιαστικῆς ταύτης ὑποθέσεως ἐκρίναμεν καλὸν καὶ ἀναγκαῖον ἐκδοθῆναι εἰς τύπους καὶ διανεμηθῆναι κοινῶς αὐτὰ τὰ ἴδια ἐπίσημα ἔγγραφα τῆς τε Ὑψηλῆς Πύλης καὶ τῆς Ἐκκλησίας, ὅπως ἕκαστος τῶν συναδέλφων ἁγίων Ἀρχιερέων, καθὼς καὶ οἱ ὑπὸ τὴν Ἀρχιερατικὴν αὐτῶν προστασίαν διατελοῦντες εὐσεβεῖς χριστιανοὶ, κατανοήσωσι τοὺς κανονικοὺς λόγους, δι' οὓς ἡ Ἐκκλησία ἀπεποιήθη τὴν παραδοχὴν τῶν ἐν τοῖς ῥηθεῖσι σχεδίοις ἀντικανονικῶν ἀπαιτήσεων, καὶ μέχρι τίνος σημείου διάκειται τὸ ἐν λόγῳ ζήτημα· διὰ ταῦτα ἀποστέλλομεν καὶ τῇ αὐτῆς ἱερότητι ἐσώκλειστα ἐν τῇ παρούσῃ ἐκκλησιαστικῇ ἡμῶν ἐγκυκλίῳ ἐπιστολῇ ἀντίτυπα τῶν ἐν λόγῳ ἐπισήμων ἐγγράφων, ἤτοι τοῦ ὑψηλοῦ τεσκερὲ μετὰ τῶν δύο σχεδίων καὶ τῆς ἀπαντήσεως τῆς Ἐκκλησίας μετὰ τῆς ἀνασκευῆς ἐκείνων, καὶ συνάμα προτρεπόμεθα ἐκκλησιαστικῶς, ὅπως ἥ τε Ἀρχιερωσύνη αὐτῆς καὶ ὑμεῖς οἱ πρόκριτοι καὶ λοιποὶ χριστιανοὶ τῆς ἐπαρχίας ταύ-

